(2). Καθ' ὅλην τὴν τοῦ Τελώνου καὶ Φαρισαίου Ἑβδομάδα νηστεύουσιν ἀνέκαθεν ἐκ παραδόσεως οἱ Ἀρμένιοι, ὡς προηγουμένην προπαρασκευὴν πρὸς τὴν Τεσσαρακονθήμερον· ἣν νηστείαν καθώρισεν ὁ θεῖος Γρηγόριος καὶ ὡς προεισόδιον ταύτης, καὶ ὡς προκαθαρτήριον, προετοιμάζων τὸ Ἔθνος αὐτοῦ ὅλον πρὸς τὸ Βάπτισμα· ἡ γὰρ λέξις Ἀρατζιβοὺρ καὶ οὐχὶ Ἀρτζιβοὺρ, δηλοῖ Ἀρμενιστὶ, Προηγουμένην (νηστείαν). Τὸ δὲ διήγημα, τὸ πρὸ τοσούτων αἰώνων ἐπαναλαμβανόμενον, παροξύνει ἔτι μᾶλλον τὸ γένος αὐτὸ εἰς παροργισμὸν ἄνευ μηδεμιᾶς ὠφελείας. Ἦν γὰρ δυνατὸν, ὅτι οἱ εἰς τὸν Σωτῆρα Χριστὸν πιστεύσαντες, ἵνα φθάσωσι μέχρι τοσαύτης ἐσχάτης παραφροσύνης, ὥστε συμφώνως πάντες καθορίσαι νηστείαν κυνὸς χάριν, πρὸ τῆς μεγάλης ἁγίας Τεσσαρακοστῆς, ἣν ἐπίσης μεθ' ἡμῶν διακρατοῦσι καὐτοὶ νηστεύοντες; Αὐτοὺς δὲ δυνάμεθα δικαίως ἐλέγξαι, ὅτι αὐθαιρέτως μετήλλαξαν τὰς ἀρχαίας ταχθείσας νηστείας· τουτέστι συνέτεμον (καὶ τοῦτο ἀρκούντως ἀλλόκοτον) τὴν πρὸ τῶν Χριστοῦ Γεννῶν νηστείαν, ἐναλλὰξ μίαν ἑβδομάδα ἐν ταύτῃ νηστεύοντες, τὴν δ' ἄλλην καταλύοντες, ὃ καὶ ἐξακολουθοῦσι μέχρι τῶν Θεοφανείων, καθ' ἣν ἡμέραν συνεορτάζουσι καὶ τὴν τοῦ Χριστοῦ Γέννησιν. Ἔτι δὲ τὴν πρὸ τῆς Κοιμήσεως τῆς Θεοτόκου νηστείαν, μίαν μόνην ἑβδομάδα νηστεύουσι, καὶ οὐ δύω, ὡς ἡμεῖς. Αὐτοὶ ἔτι νηστείαν ἄγουσι πενταήμερον κατὰ τὰς τέσσαρας τροπὰς τοῦ χρόνου, ὡς καὶ οἱ Λατῖνοι, παρ' ὧν, κατὰ Κιλικίαν, ἐπὶ τῆς θρησκομανοῦς ἐκείνης Σταυροφορίας, διὰ τῆς ἐν διαστήματι 180 ἐτῶν ἀναμίξεως αὐτῶν καὶ συμβιώσεως μετ' ἐκείνων, πολλὰ ἔθιμα παρέλαβον. Ἀπὸ δὲ τοῦ Πάσχα μέχρι τῆς Ἀναλήψεως, κατάλυσιν εἰς πάντα τεσσαρακονθήμερον ἄγουσι, καὶ αὐτὰς δὴ τὰς Τετράδας καὶ Παρασκευὰς τῶν τεσσαράκοντα αὐτῶν ἡμερῶν ἀνεξαιρέτως καταλύοντες.

ἰσχυρογνωμόνως αὐτοὶ ἀπώσαντο τὴν ἐν Χαλκηδόνι Τετάρτην Οἰκουμενικὴν Σύνοδον, μηδ' ὅλως θελήσαντες εἰσδῦναι εἰς τὸ βάθος τῆς ἐννοίας τῶν αὐτῆς Δογμάτων, καὶ δι' ἐπονειδίστου ὀνόματος κατέστιξαν τοὺς εὐδιαθέτους ἐξ αὐτῶν Ἐπισκόπους τοὺς καθαρῶς ἐπιγνόντας τὴν ἀλήθειαν, προστρίψαντες αὐτοῖς τὸ λοίδορον ἐπίθετον *Χαλκικόνσζων*. Τούτων δὲ τὸ μᾶλλον ἀσύγγνωστον, ὅτι μετὰ τὴν Πέμπτην Οἰκουμενικὴν Σύνοδον οὐδεμία πρόφασις αὐτοῖς παρελείφθη, ἵνα ἀπομακρυνθῶσι τῆς Ὀρθοδόξου Ἐκκλησίας· διότι ἐπὶ τοῦ Μεγάλου Ἰουστινιανοῦ, μετὰ παρέλευσιν 82 χρόνων ἀπὸ τῆς τετάρτης Συνόδου, ἀποφαντικῶς κατεκρίθησαν ἐν τῇ συναθροισθείσῃ πέμπτῃ Οἰκουμενικῇ Συνόδῳ παρὰ τῶν Πατέρων τὰ ῥηθέντα τρία Κεφάλαια, τὰ πρόφασιν παρασχόντα τοῖς Ἀρμενίοις πρὸς διάρρηξιν τῆς μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἑνώσεως, ὡς βλάσφημα, καὶ ἀναθεματίσθησαν. Ἀναφορικῶς δὲ ὡς πρὸς τὴν ΣΤ' καὶ τὴν Ζ' τῶν Οἰκουμενικῶν Συνόδων, οἱ τούτων Κανόνες σύμφωνοί εἰσι κατὰ τὰ Δόγματα τῇ αὐτῶν Ἐκκλησίᾳ περί τε τῶν δύω θελήσεων καὶ τῶν δύω ἐνεργειῶν τῆς Θεότητος καὶ ἀνθρωπότητος ἐπὶ τοῦ προσώπου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περὶ τῆς πρὸς τὰς Ἱερὰς Εἰκόνας εὐσεβῶς ἀποδιδομένης τιμῆς.

Συνέβη δὲ κατὰ καιροὺς τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν συγκοινωνῆσαι αὖθις μετὰ τῆς Ὀρθοδόξου, διότι οἱ τῆς Κωνσταντινουπόλεως Αὐτοκράτορες ἐνθέρμως ἐφρόντιζον περὶ ἀποκαταστάσεως τῆς διασαλευθείσης εἰρήνης καὶ ἑνώσεως· καὶ ἐὰν ἐκ τῶν Καθολικῶν Ἀρμενίων τινὲς ἐφάνησαν εὐδιάθετοι καὶ συνεννοήθησαν μετὰ τῶν ἡμετέρων Αὐτοκρατόρων καὶ τῶν Πατριαρχῶν, ἀλλ' ὁ τῶν Ἀρμενίων ὄχλος ἐρεθιζόμενος ὑπὸ θρησκομανῶν, καὶ ἐπὶ μικρᾶς ἀναφαινομένης ἐλπίδος πρὸς ἑνότητα, βιαίως αὖθις ἀπεσπᾶτο ταύτης. Οὐδὲν ὠφέλησε τὸ ἀγαθὸν παράδειγμα τῆς γείτονος τῶν Ἀρμενίων τῶν Γεωργιανῶν ἢ Ἰβήρων Ἐκκλησίας, ἥτις ἀπαρασαλεύτως καὶ ἰσχυρῶς διεκράτει τὴν μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἑνότητα. Ὁ δὲ Καθολικὸς ταύτης Κῦρος ἢ Κυρίων τῷ 580 ἔτει, ἰδὼν τὸ ὑπὸ πεισμονῆς ἀμετάτρεπτον φρόνημα τῶν προκατειλημμένων τῇ τοῦ Εὐτυχοῦς αἱρέσει, καὶ ἀποβαλλομένων ἀθέσμως τὴν Τετάρτην Οἰκουμενικὴν Σύνοδον, ἐκπεφασμένως ἀνωμολόγησε ταύτην καὶ ἀνεκήρυξε τὰ αὐτῆς Δόγματα ὑπὸ ζήλου θείου ὑπὲρ τῆς ἀληθείας ἀναφλεγόμενος· διότι ἐπὶ τοῦ συστάντος τότε Συνεδρίου ἐν τῇ Πόλει Τοβὶν (Δούβιον ἢ Τιβίον, κατὰ τοὺς Βυζαντινοὺς Ἱστορικούς), ἀραὶ τολμηρῶς ἐξεφωνήθησαν κατὰ τῆς Τετάρτης Συνόδου παρὰ τοῦ Καθολικοῦ ῥηθέντος Μωϋσέως τοῦ Β', τοῦ λέξεσιν ἀνοικείοις πωσαμένου τὴν τοῦ Αὐτοκράτορος Μαυρικίου πρόσκλησιν, τοῦ καὶ

δόντος ἐξ ἀξιοκατακρίτου ἰδιοτροπίας τοῖς Ἀρμενίοις χρονολογίαν νέαν (1).

Τῆς αὐτῆς ἐμπαθοῦς διαθέσεως ὤφθη καὶ ὁ τὸν Μωϋσέα διαδεξάμενος Ἀβραὰμ ὁ Α΄, ὅστις βλέπων τὸν τῶν Ἰβήρων Καθολικὸν Κῦρον μὴ ὁμοδοξοῦντα τοῖς Ἀρμενίοις ἀλλ' ἐμμένοντα ἀδιάσειστον ἐν τῷ ὀρθοδόξῳ αὐτοῦ φρονήματι, καὶ χωριζόμενον ἀπ' αὐτῶν, ὀργῇ ἐκκαυθεὶς, συνιστᾷ καὐτὸς δεύτερον Συνέδριον ἐν τῇ ῥηθείσῃ Πόλει, βασιλευούσῃ τῆς Ἀρμενίας, Τοβὶν, ὑπὸ δέκα Ἀρμενίων Ἐπισκόπων συνιστάμενον, καὶ ἐκφωνεῖ ἀνάθεμα μὲν κατὰ τῆς Τετάρτης Οἰκουμενικῆς Συνόδου, ἀφορισμὸν δὲ κατὰ τῶν βοηθούντων τοῖς αἱρετικοῖς (ἡμετέροις), ὡς λέγει ὁ ἔνθερμος πρόμαχος τῶν διαφωνούντων Ἰωάννης ὁ Ἱστορικὸς [Βαδμαπὰν], ὁ καὶ Καθολικὸς γενόμενος κατὰ τὸν Θ΄ αἰῶνα), καὶ κατὰ τῶν κοινωνούντων ἐν οἱῳδήποτε λόγῳ, καὶ δι' ἐμπορικῶν καὶ γαμικῶν συναλλαγμάτων μετὰ τῶν ὀρθοδόξων, ἵνα μὴ τῇ μετ' αὐτῶν ἀναμίξει διαφθαρῇ ἡ αὐτῶν ὀρθοδοξία, καὶ καταστραφῇ τὸ Ἀποστολικὸν μεσότοιχον τὸ περιφράττον αὐτοὺς (2). Ἐπὶ τούτου, οἱ Ἐπίσκοποι τῆς Ἀρμενικῆς Ἐπαρχίας Δαρὼν, μυσαττόμενοι τὴν κατὰ τῆς Δ΄ Συνόδου ἐχθροπάθειαν τῶν δύω Καθολικῶν τοῦτε Μωϋσέως καὶ τοῦ Ἀβραὰμ, καὶ

(1) Ὁ Μωϋσῆς οὗτος, ἐν ᾗ συνέστησε τῷ 551 ἔτει Τοπικῇ Συνόδῳ ἐν τῇ Πόλει Τοβὶν, πρὸς ταῖς ἀραῖς, ἃς ἐπεχρέμψατο κατὰ τῆς Δ΄ Ἁγίας Συνόδου ἀδίκως, θέλων (πρὸς αὔξησιν τῆς πρὸ τούτου γενομένης ἐπὶ Νερσῇ τοῦ Β΄, πρώτης διαστάσεως, διὰ τῶν τοσούτων εἰσαχθεισῶν καινοτομιῶν τῇ αὐτῶν Ἐκκλησίᾳ, τῶν καὶ μέχρι τούτου διαμενουσῶν παρ' αὐτοῖς), ἵνα στηρίξῃ τὴν τοῦ γένους αὐτοῦ ἀτομικότητα, ἐκκόψῃ πᾶν τὸ ἔχον σχετικὸν ὁμοίωμα μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας, καὶ οὕτως τὸ τῶν Ἀρμενίων σχῇ καὶ ἰδίαν χρονολογίαν, προσετάξατο τὴν τῆς χρονολογίας ἀναμέτρησιν ἐξαριθμεῖσθαι τοῦ λοιποῦ, οὐχὶ ἀπὸ τῆς ἐνσάρκου Οἰκονομίας, ἢ ἀπὸ Κτίσεως, ἀλλ' ἀπὸ τῆς ἐποχῆς τῆς συστάσεως παρ' αὐτοῦ τῷ 551 ἔτει ταύτης Συνόδου. Ταύτῃ δὲ τῇ μεμπτῇ χρονολογίᾳ ἐπιμένοι μέχρι τῆς σήμερον οἱ Ἀρμένιοι, ἐπιβραδύνουσι 551 χρόνους τὴν τοῦ Κυρίου κατὰ σάρκα Γέννησιν. Ὁ δὲ μεταχρονισμὸς οὗτος, ὡς ὅλως ἀσύμφωνος τῇ τῶν λοιπῶν χριστιανῶν χρονολογίᾳ, οὐ μικρὰν αὐτοῖς παρέχει ἀταξίαν καὶ σύγχυσιν.

(2) Μεταξὺ τῶν ὧν ἄλλων ἀξιοκατακρίτων τὰ τοῦ Συνεδρίου τούτου ἀνειλήφασι, τὰ διαφέροντά εἰσι, τό τε ἐν μέσῳ τῆς τῶν Ἀρμενίων καὶ τῆς τῶν Ἰβήρων Ἐκκλησίας γενόμενον σχίσμα, διὰ τὸ ἐκφωνηθὲν ἀνάθεμα, ὡς μὴ συγκατατεθέντων τῶν τῆς Ἰβήρων, κατὰ τὰς προτάσεις τοῦ τε Καθολικοῦ Ἀβραμίου καὶ τοῦ περὶ αὐτὸν Συνεδρίου, φανῆναι καὶ αὐτῶν, ὡς ἐκεῖνοι, ἀποτακτῶν καὶ ἀποστατῶν τῶν ὀρθῶς δογματισθέντων ὑπὸ τῶν Πατέρων τῆς Δ΄ Συνόδου περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων, καὶ οὕτως ἐστερήθησαν οἱ Ἀρμένιοι, ἐν πολλαῖς αὐτῶν χαλεπαῖς περιστάσεσιν, Ἔθνους γείτονος πιστοῦ συμμάχου· καὶ τὸ αὐστηρῶς ἔτι ἀπεμποδίσαι τὴν τῶν Ἀρμενίων ὁδοιπορίαν εἰς Ἱερουσαλὴμ, πρὸς προσκύνησιν τῶν Ἁγίων Τόπων, ἕνεκα τοῦ οὐ εἶχον φόβου, ὡς ἀντιδογματίζοντας εἰδότες τοὺς περιωνύμους τότε κατὰ Παλαιστίνην, καὶ ἐπικρότους ἐπ' ἀρετῇ καὶ ἁγιότητι Ἱερεῖς Κοινοβιάρχας, καὶ προμάχους τῶν Δογμάτων τῆς ἐν Χαλκηδόνι Οἰκουμενικῆς Τετάρτης Συνόδου, Εὐθύμιον, Σάββαν καὶ Θεοδόσιον.

μὴ ἀνεχόμενοι τὰς τοῦ Ἀβραμίου μᾶλλον ὕβρεις κατὰ τῶν ὀρθοδοξούντων, τοῦ καὶ τὸ σχίσμα ὑπὸ τῶν ἐμπαθῶν τρόπων αὐτοῦ κραταιώσαντος, ἐξελέξαντο αὐτοῖς ἕτερον Καθολικὸν Ἰωάννην τὸν Γ΄, τὸν ἐκ Πόλεως Παχαρὰν τῆς Ἐπαρχίας Παχρεβὰν ὁρμώμενον. Καὶ αὐτὸς μὲν μετὰ τῶν σὺν αὐτῷ Ἐπισκόπων μεταβὰς διέτριβεν Ἀρχιερατεύων ἐν τῇ Ἀρμενίᾳ, τῇ ὑπὸ τῷ κράτει τῶν Ῥωμαίων, ὁ δ' Ἀβραὰμ ἐν τῇ Περσαμενίᾳ· ὡσαύτως καὶ ὁ διαδεξάμενος τὸν Ἀβραὰμ Καθολικὸς Κομιδὰς τῇ αὐτῇ δυσμενείᾳ τοῦ Προκατόχου αὐτοῦ χρώμενος, βιβλίον ψευδώνυμον συνετάξατο τῶν κακῶν αὐτοῦ φρονημάτων περὶ μιᾶς ἐπὶ Χριστοῦ φύσεως, καὶ οὐχὶ δύω, κατὰ τὴν ὀρθοτάτην διδασκαλίαν, Θεότητος καὶ ἀνθρωπότητος, ἐπ' ὀνόματι τοῦ ἀπογόνου τοῦ Ἱεροῦ φωταγωγοῦ τῶν Ἀρμενίων Γρηγορίου, Καθολικοῦ Ἰσαὰκ τοῦ μεγάλου (Μὲδζ) καὶ εὐσεβοῦς, τοῦ κατ' ἀρχὰς τοῦ Ε΄ αἰῶνος ἀκμάσαντος.

Ἐπὶ τοιαύτης γοῦν καταστάσεως τῆς ἀτομικῆς μερικότητος τυγχανούσης τῆς τῶν Ἀρμενίων Ἐκκλησίας, κεχωρισμένης πάσης κοινωνικῆς σχέσεως μετὰ τῶν Ὀρθοδόξων Ἐκκλησιῶν, καὶ διασειομένης ὑπὸ σφοδρῶν καταιγίδων πολιτικῶν τε καὶ θρησκευτικῶν, πρῶτον παράδειγμα τῆς κατὰ πόθον εἰρήνης καὶ ἑνώσεως αὖθις δέδωκεν ὁ Καθολικὸς Ἔσδρας (Ἔζρ) κατὰ τὸ 628 ἔτος, παραγενόμενος εἰς Θεοδοσιούπολιν, τὴν νῦν Ἔρζ-ρούμ, κατὰ πρόσκλησιν τοῦ Αὐτοκράτορος Ἡρακλείου, νικητοῦ ἐπανακάμπτοντος ἀπὸ τοῦ κατὰ Περσῶν πολέμου, μετὰ πολλῶν Ἐπισκόπων Ἀρμενίων· ὅςτις ἐν τῇ συναθροισθείσῃ ἐκεῖσε Συνόδῳ, ἧς προήδρευεν, οὐ δυνάμει τῶν ὅπλων κατεπείσθη, ἀλλὰ ζητήσας παρὰ τοῦ Αὐτοκράτορος τὴν ἔκθεσιν τῆς Πίστεως τῆς Δ΄ Συνόδου καὶ συνειδὼς τὴν ἀλήθειαν, ἀπέπτυσε τά τε πρότερον ἐπὶ Νερσῇ τοῦ Β΄ καινοτομηθέντα, καὶ τὰ ἑπομένως ὑπὸ τῶν δύω Καθολικῶν Μωϋσέως τοῦ Β΄ καὶ Ἀβραμίου τοῦ Α΄, ἐπὶ δύω Συνεδρίων, ὑπὸ πάθους ἀπερισκέπτου νεωτερισθέντα, καὶ εὐσεβῶς πιστεύσας εἰς τὸ ὀρθὸν τῶν Δογμάτων, ἐδέχθη τὴν Οἰκουμενικὴν ταύτην Σύνοδον. Ἀπὸ δὲ τοῦ χρόνου ἐκείνου πολλαὶ χιλιάδες τῶν Ἀρμενίων, οἱ περὶ τὰ ὅρια τῆς Ῥωμαϊκῆς Αὐτοκρατορίας κατοικοῦντες, ἐδέχθησαν τάς τε τελετὰς, τὰ ἔθιμα, τὰς ἑορτὰς καὶ τὰς νηστείας τῆς Ὀρθοδόξου Ἐκκλησίας, τελοῦντες τὰ τῆς Ἱερᾶς Μυσταγωγίας δι' ἐνζύμου ἄρτου, καὶ μιγνύοντες ἐν τῷ Ποτηρίῳ ὕδατι τὸν οἶνον. Τὰ δὲ ὑπολείμματα τῶν Ὀρθοδόξων τούτων Ἀρμενίων ὑπάρχουσι μέχρι τῆς σήμερον ἐν τῇ Ἀνατολῇ κατὰ τὴν Σατραπείαν τῆς Σεβαστείας (Σιβὰς), ἅτινα συγκροτοῦσιν ὑπὲρ τὰ δώδεκα χωρία, ὧν ἡ κωμόπολις καλεῖται Ἐγκὶν, κείμενα πρὸς δυσμὰς οὐ μακρὰν τοῦ Εὐφράτου. Γνωστοὶ οὖν οἱ Ὀρθόδοξοι οὗτοι

ἐπ' ὀνόματι Χαϊχορούμ (Ἀρμενορωμαῖοι), πνευματικῶς διοικούμενοι ὑπὸ τοῦ Μητροπολίτου Θεοδοσιουπόλεως, ὑπὸ τὸν Θρόνον τοῦ Πατριάρχου Ἀντιοχείας τελοῦντος.

Ἀλλ' ἡ ἐν Θεοδοσιουπόλει αὕτη ἕνωσις οὐ διήρκεσε διὰ πολλοῦ, καὶ ὁ Εὐσεβὴς Ἔσδρας κατεδικάσθη ὡς μερολήπτης, διὰ τὴν πρὸς Ῥωμαίους κλίσιν αὐτοῦ, παρὰ τοῦ Κλήρου καὶ τοῦ λαοῦ τῆς Περσαμενίας, μηδόλως δεχθέντων τὰ ἐν Ἐρζ-ρούμ πραχθέντα κατὰ τὴν Δ' Σύνοδον. Τὰ αὐτὰ ὑπέστη καὶ ὁ τὸν Ἔσδραν διαδεξάμενος Καθολικὸς Νερσῆς ὁ Γ', καὶ Σινὸγ καλούμενος, ἤτοι Φιλοικοδόμος, ὅςτις, κατ' ἀπόφασιν τοῦ ἐγγόνου τοῦ Ἡρακλείου Αὐτοκράτορος Κώνσταντος, Σύνοδον ἐν Τοβὶν τῷ 648 ἔτει συνήθροισεν ἐπὶ τῷ παραδεχθῆναι ὁριστικῶς τὴν Δ' Σύνοδον· ἀλλὰ μὴ δυνηθεὶς καταπεῖσαι τοὺς ἰσχυρογνώμονας ἀντιπάλους ταύτης, τοὺς δραστηρίως κινουμένους κατά τε τοῦ Καθολικοῦ αὐτοῦ, τοῦ ὁμόφρονος αὐτῷ Κλήρου καὶ τῶν ἀρχόντων Ἀρμενίων, καὶ στάσιν γενικὴν διενεργοῦντας, δι' ἣν ταραχὴν τῶν πραγμάτων, ὡς μὴ δυνάμενος ὁ Νερσῆς οὗτος ἐπενεγκεῖν οὐδεμίαν θεραπείαν, ἀφήσας τὴν πόλιν Τοβὶν ἀπεμακρύνθη εἰς τὴν Ἐπαρχίαν Δαϊκ τὴν ἑαυτοῦ πατρίδα· τούτου δὲ Τοποτηρητὴς κατέστη ὁ Βαρταπιὲδ Ἰωάννης ὁ ἐκ Μαναζγὲρ, μαθητευθεὶς παρὰ τῷ ἐπισήμῳ τότε διδασκάλῳ Γρηγοραδούρ. Οὗτος δὲ ὁ σκληρὸς τὴν γνώμην Ἰωάννης, ἐν ὅσῳ διέτριβεν ἐν Τοβὶν, ὑπεκρίνετο ἑαυτὸν σύμφρονα τῆς ἑνότητος, ἀλλὰ λαθραίως φυγὼν εἰς Μαναζγὲρ τὴν πατρίδα αὐτοῦ, ἀνεκάλυψε τὸ ὃ ἔτρεφε καὶ αὐτὸς δυσμενὲς φρόνημα. Καὶ δὴ ψευδοσύνοδον συστήσας τῷ 651 ἔτει, ἀνεθεμάτισε τὴν Τετάρτην Ἁγίαν Σύνοδον (1) καὶ τοὺς ὀπαδοὺς ταύτης δι' ἀπρεπεστάτων λέξεων, ἐπίσης δὲ καὶ τὴν ὑπὸ Ἔσδρα ἐν Θεοδοσιουπόλει συστᾶσαν. Περὶ δὲ τῆς τοῦ Χριστοῦ ὑποστάσεως, ἡ ψευδοσύνοδος αὕτη προσεπεκύρωσε τὴν βλάσφημον ὁμολογίαν περὶ μιᾶς ἐπὶ Χριστοῦ φύσεως ἀσυγχύτως· αἵρεσιν, ἥν, ὡς τὴν τοῦ θεηλάτου Εὐτυχοῦς, καίτοι δοκοῦντες ὡς ἀποφεύγοντες διὰ τοῦ ἐκφωνουμένου κατ' αὐτοῦ ἀναθέματος παρ' αὐτῶν, ἀλλ' ὅμως ἀκράτως ὅλως ὑποπίπτουσιν εἰς αὐτὴν οἱ Ἀρμένιοι, ὡς ἀποβάλλοντες καὶ μὴ παραδεχόμενοι τὴν Δ' Οἰκουμενικὴν Σύνοδον, τὴν τὰς δύω φύσεις ἐπὶ Χριστοῦ ἀτρέπτως καὶ ἀδιαιρέτως δογματίσασαν.

Ἀλλ' οὐχ οὕτω προσεφέρθη ὁ πραῢς διάδοχος καὶ μιμητὴς τῶν δύω Προκατόχων Ἔσδρα καὶ Νερσῆ, Ἰωάννης ὁ Δ', ὁ ἐπικληθεὶς φιλόσοφος (Ἰμαζδαζὲρ). Ὅςτις συγκαλέσας τῷ 720 ἔτει Σύνοδον ἐν Τοβὶν, ἀποκατέστησε μὲν τὴν εὐταξίαν τῆς τῶν Ἀρμενίων Ἐκκλη-

(1) Ἀλλ' ἐπὶ τὴν κάραν τούτου ἐπιπεσὸν μενέτω τὸ ἀνάθεμα.

σίας καὶ τἄλλα ἔθιμα, ἀλλ' οὐδόλως προσήγγισεν εἰς τὰ τῆς Δ' Συνόδου, ἢ ἀνέτρεψε τὰ δογματικῶς ἐν αὐτῇ ἀποφανθέντα, διότι αὐτὸς ἀνετράφη παρὰ τῷ ὁσίῳ Ἀναχωρητῇ Θεοδώρῳ τῷ Τριχηνᾷ. Παρεισδυσάσης δὲ τηνικαῦτα εἰς Ἀρμενίαν παρὰ τῶν μαθητῶν Ἰουλιανοῦ τοῦ Ἁλικαρνασέως τῆς τῶν Φανταστικῶν αἱρέσεως τῆς ληρούσης, ὡς ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι τὸν Κύριον· καὶ τὸ μὲν σῶμα αὐτοῦ, εἰ καὶ ἐνεχόμενον ὑπάρξαι τοῖς πάθεσιν, ἀλλ' ὅπως ταῦτα ἦν ἐξεικαστὰ καὶ φανταστά· ἠγέρθη ὁ Καθολικὸς Ἰωάννης αὐτὸς κατὰ τῆς τοιαύτης αἱρέσεως, καὶ γενναίως κατ' αὐτῆς συνέγραψεν, ἐν ᾧ Συγγράμματι διαῤῥήδην ἀνομολογεῖ τὰς δύω ἐπὶ Χριστοῦ φύσεις.

Τοσαύτη δὲ ἦν σφοδρὰ καὶ ἀκάθεκτος ἡ τῶν Ἀρμενίων προκατάληψις, ὥστε εἰς ἐκ τῶν Συγγραφέων Βαρδάνης καλεῖ μὴ Ὀρθοδόξους πάντας τοὺς ἀπὸ τοῦ ῥηθέντος Ἔσδρα μέχρι τοῦ Ἰωάννου τούτου τοῦ φιλοσόφου Καθολικοὺς τῶν Ἀρμενίων, διὰ τὴν ἣν ἐνεδείξαντο πρόθυμον κλίσιν πρὸς ὁμόνοιαν καὶ εἰρήνην τῶν δύω διϊσταμένων Ἐκκλησιῶν. Δι' οὗ δὲ ὁ κατήγορος οὗτος δείκνυσι μίσους βεβαιοῖ μᾶλλον τὸ τῶν Καθολικῶν αὐτῶν Ὀρθόδοξον φρόνημα. Οἱ δὲ μετὰ Ἔσδραν σύμφωνοι τοῖς Δόγμασι τῆς Δ' Συνόδου καὶ τῇ ἑνώσει, μέχρι τοῦ ῥηθέντος Ἰωάννου, εἰσὶ Νερσῆς ὁ Γ', Ἀναστάσιος, Ἰσραὴλ, Σὰγ ὁ Γ', καὶ Ἠλίας. Ἀλλ' ἀπατᾶται ὡσαύτως ὁ ῥηθεὶς Βαρδάνης συμφύρων τὰς τοῦ ἐκ Μαναζγὲρ ὑβριστοῦ Ἰωάννου πράξεις μετὰ τῶν τοῦ Φιλοσόφου Ἰωάννου πράξεων· διὸ οὐδὲ πρέπον τοῖς Ἱστορικοῖς Ἀρμενίοις, ἢ ἐξ ἀπάτης, ἢ ἐπίτηδες συγχέειν τὸν μνησθέντα Φιλόσοφον μετὰ τοῦ ἄλλου Καθολικοῦ ῥηθέντος Ἰωάννου τοῦ ΣΤ', ἐχθροῦ κἀυτοῦ φανέντος τῇ Ὀρθοδόξῳ Πίστει τῶν Δογμάτων· ὅς τις ἔζη κατ' ἀρχὰς τοῦ ἐννάτου αἰῶνος, καὶ γνωστὸς ἐπ' ὀνόματι Ἰστρικοῦ (Βαδμαπάν). Σημειωτέον δ' ὅτι ἔν τε τῇ Ἕκτῃ καὶ Ἑβδόμῃ τῶν Οἰκουμενικῶν Συνόδων παρῆσαν, ὡς μαρτυροῦσιν αὐτοὶ οἱ Ἀρμένιοι, τινὲς τῶν αὐτῶν Ἐπισκόπων· ἄρα οὐδὲ πρόφασιν ἔχουσιν, ἵνα μὴ ἀποδέχωνται τὴν Οἰκουμενικὴν αὐτῶν ἀξίαν καὶ τὰ παρ' αὐτῶν θεσπισθέντα.

Ὁ δὲ ὅσος τε καὶ ἡλίκος τὴν σοφίαν ἱερὸς Φώτιος οὐδὲν παρέλιπε τῶν ὅσα γε συντελεῖν ἐδόκει, ὥστε τοὺς Ἀρμενίους ἐπὶ τὴν εἰρήνην καὶ ἑνότητα ἀνακαλέσασθαι, καὶ δι' ἐπιμελείας ἔσχεν ἀποστεῖλαι εἰς τὴν βασιλεύουσαν αὐτῶν τότε Ἄνι (Ἄνιον) τὸν Ἀρχιεπίσκοπον Νικαίας Ἰωάννην, ὅστις ἐκεῖσε παραγενόμενος εὗρεν αὐτῷ συναγωνιστὴν τὸν τηνικαῦτα Καθολικὸν Ζαχαρίαν τῷ 864 ἔτει. Τῶν δ' Ἀρμενίων Ἐπισκόπων, καίτοι τῇ συνήθει δοκοφροσύνῃ καὶ πεισμονικῇ προκαταλήψει ἐνισταμένων, ἀντιλεγόντων καὶ ἀντενερ-

γούντων, ὁ Νικαίας ὅμως ἀναπτύξας καὶ διασαφηνίσας πρὸς αὐτοὺς τὰ τῆς Τετάρτης Συνόδου Δόγματα, κατέπεισε τέως παραδεχθῆναι αὐτά, ἐν τοιαύτῃ ὅμως αὐτῶν συμφωνίᾳ. « Ὅςτις ἂν ταῦτα ὑποθείη ταῖς Ἀποστολικαῖς παραδόσεσιν ἀντιλεγόμενα, καὶ ἐν οἱᾳδήποτε ἐνοχῇ οὐκ ἀποβάλλοι αὐτά, ἔστω ἀπόβλητος· ἐναλλὰξ δὲ, ἐάν τις γινώσκῃ μὲν τήν τε ἐν Χαλκηδόνι καὶ τὰς μετὰ ταῦτα τρεῖς Οἰκουμενικὰς Συνόδους, συμφώνους τοῖς Δόγμασι τῶν τριῶν πρώτων, αὐθαδείᾳ δὲ φερόμενος συκοφαντῇ ταύτας καὶ καταρᾶται, ἔστω κατηραμένος ». Ἀλλ' αὕτη, ἡ μὴ ὁριστικῶς ἐν εὐθύτητι, ἀλλ' ἐν συνθήκῃ καὶ συμφωνίᾳ περὶ ἑνώσεως διαπραγμάτευσις, φρούδη ἀπέβη. Μετὰ δὲ ἑκατὸν χρόνους ταύτης τῆς μὴ ἐν ἀγαθῇ τῇ πίςει ἑνώσεως, ἄλλος Καθολικὸς Βαγὰν ἢ Βαγανὶρ ὀρθοδοξίας ὤφθη ζηλωτής, ἧς ἕνεκα κριθεὶς ὑπὸ τῶν ἰδίων αὐτοῦ Ἐπισκόπων καὶ κατακριθεὶς ὡς ὀρθοφρονῶν, ἀπεβλήθη τοῦ Θρόνου τῷ 970 ἔτει· κατέφυγε δὲ αὐτὸς πρὸς τὸν τοῖς Καλίφαις τοῦ Βακτατίου ὑποκείμενον Ἀρμένιον Πρίγκιπα τῆς Ἀρμενικῆς μεγάλης Ἐπαρχίας Βασβουραγὰν Ἀβουσάγλ, ὅστις φιλοφρόνως ὑπεδέχθη αὐτόν.

Ἄξιον παρατηρήσεως, ὅτι ὁ φωταγωγὸς εἰς τὴν τοῦ Χριστοῦ πίστιν τῶν Ἀρμενίων, καὶ πρῶτος αὐτῶν Ἱεράρχης Ἱερὸς Γρηγόριος, παρέλαβε πάντα παρὰ τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας, καὶ οἱ μετ' αὐτὸν, ὡς εἰπεῖν, σχεδὸν πάντες, οἵ τε ἐκ τοῦ γένους αὐτοῦ καὶ οἱ μετὰ τούτους ἑπομένως διαδεξάμενοι τὸν τοῦ Καθολικοῦ τῶν Ἀρμενίων Θρόνον, πιστῶς διεφύλαξαν τάτε ἱερά, ἃ ἀλληλοδιαδόχως παρέλαβον δόγματα καὶ τὰς παραδόσεις· ἀλλ' ἀπὸ τοῦ 451 ἔτους, μετὰ τὴν Δ' Σύνοδον καὶ ἐφεξῆς, τοῦ Γένους ὅλου τῶν Ἀρμενίων καταδιωκομένου σκληρῶς τηνικαῦτα, αἰχμαλωτιζομένου, ὠμότατα φονευομένου παρὰ Περσῶν, καὶ καταβιαζομένου πρὸς ἐξάρνησιν τῆς τοῦ Χριστοῦ Πιστεως καὶ εἰς λατρείαν τοῦ πυρὸς, ἐπὶ τοιούτου κραταιοῦ σάλου τῆς Ἀρμενίας, μακρὰν καὶ ὁ τῶν Ἀρμενίων Κλῆρος, ὁ ἐν μέσῳ σκιᾶς θανάτου πρὸ πάντων σαλευόμενος, ἀπεῖχε νοῦν στῆσαι ἐπὶ δογματικῶν συζητήσεων. Ἀλλ' ὅτε ὁ ἀνδρεῖος Πρίγκιψ Δαρῶν, Βαγὰν ὁ Μαμιγονιήνσιος, παρὰ τοῦ τῶν Περσῶν Βασιλέως Βαλὰσς (Ἀρμενιστὶ Βαγάρσς), καθωρίσθη τῆς Ἀρμενίας γενικὸς Διοικητὴς (Μαρζβὰν) τῷ 485 ἔτει, ἐπὶ τῆς διοικήσεως τούτου, παραταθείσης ἄχρι τοῦ 511 ἔτους, ἐφησυχασάντων τῶν πολιτικῶν κατὰ Ἀρμενίαν σπαραγμῶν, ἀμέσως ἤρξατο ἡ τοῦ Εὐτυχοῦς αἵρεσις νομὴν λαμβάνειν καὶ διεξαπλοῦσθαι ἐν Ἀρμενίᾳ ὑπό τε τῶν ἀπελαυνομένων τῆς Αὐτοκρατορίας ὀπαδῶν ταύτης, καὶ ὑπὸ τῶν Σύρων ἔτι Εὐτυχιανῶν Ἐπισκόπων, τῶν παρασυράντων αὐτῶν μάλα τὸν τῶν Ἀρμενίων Κλῆρον διὰ τῶν κατὰ

τῆς Δ΄ Συνόδου κακολογιῶν αὐτῶν, ὡς τὰ τοῦ Νεστορίου δῆθεν ταύτης προστατευσάσης, καὶ μὴ κατακρινάσης τὰ τρία Κεφάλαια, εἰς τὸ περὶ μιᾶς μόνης φύσεως ἐπὶ Χριστοῦ κακοδοξίας βάραθρον. Ἔνθεν τοι καὶ οἱ πρὸ τοῦ μνησθέντος Μωϋσέως τοῦ Β΄ ἑπτὰ τῶν Καθολικῶν, οἷον Σαμουὴλ, Μουσσὴς, Σὰγ ὁ Β΄, Χριστόφορος ὁ Β΄, Γεδὼν ἢ Λεόντιος, Νερσῆς ὁ Β΄ καὶ Ἰωάννης ὁ Β΄, εἰσὶ τὴν ὀρθοδοξίαν ὕποπτοι. Μετὰ δὲ τούτους εἴδομεν, ὡς ἀνωτέρω εἴρηται, ἐπὶ πόσον ἐξεκαύθη πεπαῤῥησιασμένως τὸ δυσμενὲς φρόνημα τοῦ τε ὑπερθέρμου Μωϋσέως τοῦ Β΄, καὶ τοῦ κεκαυτηριασμένου μᾶλλον Ἀβραὰμ τοῦ Α΄, καὶ τῶν ἐφεξῆς αὐτῶν διαδόχων μέχρι τοῦ Καθολικοῦ Ἔζρ ἢ Ἔσδρα. Καὶ ἐὰν οἱ διαφωνοῦντες τῶν Καθολικῶν καὶ στόματι, καὶ δι' ἐγκυκλίων κατέκριναν τὰ μὴ ἐν τῇ Δ΄ Συνόδῳ κατακριθέντα τρία ἀνωτέρω ῥηθέντα Κεφάλαια, ἅτινα ἐκπεφασμένως κατεκρίθησαν καὶ ἀνεθεματίσθησαν ἐν τῇ Ε΄ Οἰκουμενικῇ Συνόδῳ, βαρέως αὐτοὶ ἥμαρτον, καὶ ἁμαρτάνουσιν ἔτι οἱ τῶν Ἀρμενίων, ὡς μὴ προσεκτικώτερον καὶ ἀτενέστερον ἐμβαθύνοντες εἰς τὸ πρᾶγμα, ἀλλ' ὑπολαμβάνοντες τὴν Τετάρτην Σύνοδον ὡς πέτραν σκανδάλου, ἢ μᾶλλον πρόφασιν ῥήξεως.

Ὁ ἐκ τοῦ Βασιλικοῦ τῶν Ἀρμενίων οἴκου Παγλαβουνὶ ἢ τῶν Ἀρσακίδων καταγόμενος Μάγιστρος Γρηγόριος λαμβάνει παρὰ τῶν Αὐτοκρατόρων, Δοὺξ ἀναγορευθεὶς, τὴν τῆς Μεσοποταμίας Διοίκησιν διὰ τὸ ὀρθόδοξον αὐτοῦ φρόνημα. Ὁ τούτου δ' ἀνεψιὸς Γρηγόριος ὁ Β΄, καὶ ἐπωνυμούμενος Φιλομάρτυς (Βγαϊασὲρ), ἤρθη ἐπὶ τὸν τοῦ Καθολικοῦ Θρόνον τῷ 1065 ἔτει τοῦ Ἁγίου αὐτοῦ Προγόνου Γρηγορίου· ἐκλήθη δὲ Φιλομάρτυς, ὡς συναθροίσας τοὺς βίους τῶν Μαρτύρων καὶ τὰ ὀστᾶ. Ἡ δόξα τούτου περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων ἦν τοσοῦτον εὐσεβὴς, ὥστε περὶ τούτου ἰδιοχείρως ἐσημειώσατο ἐν τῷ Βιβλίῳ, τῷ συγγραφέντι παρὰ τοῦ προῤῥηθέντος Καθολικοῦ Ἰωάννου τοῦ Φιλοσόφου, κατακρίνων τοὺς ἄλλως πως περὶ Χριστοῦ σοφιστευομένους. Ἐπέζησε δὲ αὐτὸς μέχρι τοῦ 1085 ἔτους· μετὰ δὲ τοὺς τοῦτον διαδεξαμένους βραχυβίους τρεῖς, προήχθη εἰς τὸν τοῦ Καθολικοῦ Θρόνον ὁ τοῦ Γρηγορίου Β΄ ἀπ' ἀδελφῆς ἀνεψιὸς Γρηγόριος ὁ Γ΄, Βαγλαβουνὴς ἐπωνυμούμενος, ὡς ἐκ τῆς σειρᾶς τῶν Ἀρσακίδων καὐτὸς ὁρμώμενος τῷ 1113 ἔτει. Ἴθυνε δὲ τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν ὑπὲρ τὰ πεντήκοντα ἔτη, ὅστις βλέπων τὴν τοῦ Κλήρου αὐτοῦ διαίρεσιν αὐξανομένην, ἔγραψε πρὸς τὸν Αὐτοκράτορα Μανουὴλ τὸν Κομνηνὸν περὶ ὁμοφροσύνης καὶ ἑνώσεως τῶν Ἐκκλησιῶν τῷ 1148 ἔτει· ἀλλὰ τελευτήσαντος, τὸν ἐκείνου Θρόνον διέπειν ἐκ διαδοχῆς λαχὼν, τῷ 1166 ἔτει, ὁ τούτου ἀδελφὸς Νερσῆς ὁ Δ΄, ἐπωνυμούμενος Χαρίεις (Σνοργάλι), ἀπεφάσισεν, ἵνα ἐπιφέρῃ τὴν ὑστάτην

πληγὴν κατὰ τῆς τοσαύτης διαιρέσεως τῆς διασχιζούσης τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν. Διὸ καὶ ἐξηκολούθησε σπουδαιότερον τὰς αὐτοῦ διακοινώσεις μετὰ Μανουὴλ τοῦ Αὐτοκράτορος διὰ τριῶν περὶ Πίστεως ἐκθέσεων αὐτοῦ, ἐν αἷς ἠγωνίσθη, ἵνα δικαιώσῃ ἑαυτὸν ἐνώπιον τῆς ὀρθοδόξου Ἐκκλησίας, ἐκφραζόμενος ὀρθῶς περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων. Ἐκ τῶν διαφωνούντων Ἀρμενίων τινὲς μέμφονται αὐτὸν ὡς φιλόδοξον, καὶ θηρεύοντα διὰ τῶν μετὰ τοῦ Αὐτοκράτορος αὐτοῦ σχέσεων τὸ τοῦ Πατριάρχου ὄνομα· ἀλλ' εἰ καὶ οὔτ' αὐτὸς οὔτε οἱ Προκάτοχοι αὐτοῦ ἔφερον τὸν τοιοῦτον τίτλον, ἡ τοῦ Καθολικοῦ ὅμως ἀξία, τουτέστι Κεφαλὴ αὐτονόμου Ἐκκλησίας, οὐκ ἀναδείκνυσιν ἄρα αὐτὸν τοῖς Πατριάρχαις ἰσότιμον; Οἱ τοῦ Νερσῆ σύγχρονοι ἄμεινον ἔκριναν περὶ τῶν περὶ ἑνώσεως ἀγαθῶν αὐτοῦ σκοπῶν, ἀποδόντες αὐτῷ αὐτοὶ οἱ τῶν Ἀρμενίων φιλαλήθεις τὴν τοῦ χαρίεντος προσηγορίαν, καὶ κατατάξαντες αὐτὸν μεθ' Ἁγίων.

Μετὰ θάνατον τούτου, ὁ τούτου ἀπ' ἀδελφοῦ ἀνεψιός, οὐ μόνον τοῦ Θρόνου, ἀλλὰ καὶ τοῦ αὐτοῦ ὑπὲρ τῆς ἑνώσεως ζήλου διάδοχος, Γρηγόριος ὁ Δ', καὶ ἐπωνυμούμενος Παιδίον (Δέγα καὶ Κλαϊέστι), ὁμοῦ καὶ ὁ τότε πεπαιδευμένος προῤῥηθεὶς Ἀρχιεπίσκοπος Ταρσοῦ, ὁ ἐκ τῆς πόλεως κατὰ Κιλικίαν Λαμπρῶν καταγόμενος, καὶ Λαμπρονήνσιος ἐκ τῶν αὐτοῦ Συγγραμμάτων καλούμενος (1), ἐσφράγισαν τὸ τῆς εἰρήνης ἆθλον ἐν ταῖς συστάσαις ἔν τε Ταρσῷ καὶ Ῥοὺμ-καλὲ, τῷ 1179 ἔτει, ἐν ὅλῃ τῇ ἀντιστάσει τῶν διαφωνούντων Ἐκκλησιαστικῶν τινων καὶ Κοσμικῶν. Ἐν ταύταις δὲ ταῖς Συνόδοις διελύθησαν τὰ ἀμφίβολα, καὶ τρεῖς πρὸς τοῖς τριάκοντα Ἐπίσκοποι τῆς τε μεγάλης καὶ μικρᾶς Ἀρμενίας, καὶ αὐτὸς ὁ Καθολικὸς τῆς Ἀλβανίας τῆς κατὰ τὰ Καυκάσια ὄρη, ὁμοψύχως ὑπέγραψαν καὶ ἐκύρωσαν, ὡς Συνοδικὸν ὅρον, τὸν συνενώσαντα τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν μετὰ τῆς Ὀρθοδόξου. Ἄριστα δὲ τὸ πρᾶγμα τοιουτοτρόπως προεχώρει, καὶ κατ' εὐχὴν ἦκεν ἂν εἰς τέλος ἀγαθόν· ἀλλ' ἐν δὲ τούτῳ ὁ θάνατος Μανουὴλ τοῦ Αὐ-

(1) Καλὸν δὲ καὶ τὰ παρ' αὐτῶν τῶν Ἀρμενίων Πατέρων περὶ Πίστεως τῆς τοῦ Ἁγίου Πνεύματος Ἐκπορεύσεως συμφώνως τοῖς Ὀρθοδόξοις θεολογηθέντα ἐνταυθὶ παραθέσθαι. Ὁ μὲν Γρηγόριος ὁ Ναριεκήνσιος, ἀνὴρ ἐνάρετος, «Τὸ Πνεῦμα, φησί, τὸ Ἅγιόν ἐστι πνεῦσις παρὰ τοῦ Πατρὸς ἀῤῥήτως, οὐ κατὰ γέννησιν ὡς ὁ Υἱός, ἀλλὰ κατ' ἐκπόρευσιν ἐκ τῆς ἐκείνου οὐσίας». Ἑπόμενος δὲ τούτῳ καὶ ὁ Καθολικὸς Νερσῆς ὁ Δ' καὶ Κλαϊήνσιος ἐπάγει. «Τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν Ἐκπόρευσις (ἤτοι Ἐκπόρευμα) παρὰ τοῦ Πατρός». Ἐπίσης καὶ ὁ Ἀρχιεπίσκοπος Ταρσοῦ Νερσῆς ὁ Λαμπρονήνσιος συνείρει. «Τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν Ἐκπόρευσις ἐκ τοῦ Πατρός, ὡς ἐκ Πηγῆς». Οὕτως οὖν τῶν Ἀρμενίων περὶ τοῦ Πνεύματος, οἷα δὴ καὶ πάλαι, δόξης ἔχουσιν ὀρθῆς. (Ἰωάνν. Ἰωακεὶμ ὁ Σχροδέρος ἐν τῷ Βιβλίῳ, ὃ ἐξέδωκεν ἐν Λονδίνῳ τῷ 1780 ἔτει, ᾧ καὶ ἐπέγραψε. Θησαυρὸς τῆς Ἀρμενικῆς διαλέκτου).

τοκράτορος τῷ 1180 ἔτει, ἀτελὲς τὸ ἐπίσημον τοῦτο ἔργον παρέλιπε· διότι μετὰ τὸν Μανουὴλ, αἵ τε συμβᾶσαι ταραχαὶ ἐν τῇ Αὐτοκρατορίᾳ, καὶ ἡ τῆς Κωνσταντινουπόλεως ἅλωσις ὑπὸ τῶν Λατίνων Σταυροφόρων, καὶ οἱ ἐκ διαφόρων Ἀρμενίων γενεῶν γενόμενοι Καθολικοὶ, ἀπεμάκρυναν τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν καὶ ἀπὸ τῆς Ὀρθοδοξίας, καὶ ἐξ αὐτῶν τῶν ἰδίων αὐτῆς κατὰ μέρος παραδόσεων, καὶ προσήγγισαν αὐτὴν εἰς τὴν Λατινικὴν ὑπὸ τὴν ἐπιῤῥοὴν τῶν Σταυροφόρων, καὶ διὰ συμμαχίας τῶν κατὰ Κιλικίαν Ἀρμενίων Βασιλέων μετά τε τῶν ἐν Ἀντιοχείᾳ καὶ Συρίᾳ Σταυροφόρων, καὶ διὰ γαμικῶν συναλλαγμάτων μετ' αὐτῶν, καὶ τῶν τῆς Κύπρου Λουζιανῶν Βασιλέων. Ὅθεν καὶ διὰ τὴν πολυχρόνιον ἀνάμιξιν καὶ συμβίωσιν τῶν Ἀρμενίων μετὰ τῶν Λατίνων ἀπὸ τοῦ 1198 ἔτους, καὶ τοῦ Λέοντος τοῦ Β΄, ὃν ἀδείᾳ τοῦ Πάπα, ἔστεψε Βασιλέα τῶν Ἀρμενίων ὁ Ἀρχιεπίσκοπος Μογουντίας (Μαϋάνς), μέχρι τοῦ 1365 ἔτους, καὶ τοῦ Λέοντος τοῦ ΣΤ΄ καὶ ἐσχάτου τῶν Ἀρμενίων Βασιλέως, μετήλλαξεν ἡ αὐτῶν Ἐκκλησία οὐ μόνον τὴν ἱερατικὴν αὐτῆς στολὴν σχεδὸν, ἀλλὰ καὶ τὴν τάξιν αὐτῆς, πρὸς εὐχαρίστησιν τῆς Ῥώμης, ὡς ἐφεξῆς ῥηθήσεται. Ἀλλ' ἐν ὅλῃ ταύτῃ τῇ ᾗ εἵλοντο κατὰ Λατίνους ἱερατικῇ μεταμφιάσει, τὴν Πίστιν δ' ὅμως εἰς κοινωνίαν τῶν τῆς Ῥώμης καινοτομημάτων ἐπισπάσασθαι τὸν Κλῆρον καὶ ὅλον τὸ Γένος τῶν Ἀρμενίων, τοσάκις ἀγωνισαμένη ἡ Ῥώμη, οὐδόλως κατίσχυσεν· ἐκτὸς, πολλοστόν τι μέρος τοῦ Γένους τούτου, κατὰ καιροὺς ἄλλοτε ἄλλο συναρπασθὲν, τοῖς δυτικοῖς δόγμασι προσκεχώρηκεν. —

Αἱ περὶ Ἐκκλησιαστικῆς εἰρήνης διαπραγματεύσεις καὶ προσοχῆς ἄξιαι τοῦ Μανουὴλ Αὐτοκράτορος μετὰ τῶν εὐδιαθέτων, καὶ τῶν ὑπὲρ τοὺς πρὸ αὐτῶν ἀναντιῤῥήτως καὶ λόγοις καὶ πράξεσιν ὑπὲρ ἑνώσεως τῶν Ἐκκλησιῶν μᾶλλον ἀγωνισαμένων, Νερσῆ τοῦ Δ΄, καὶ Γρηγορίου τοῦ Δ΄, ἐξεδόθησαν Ἑλληνιστὶ καὶ Λατινιστὶ ἐν τῷ περὶ τῶν ἀρχαίων Συγγραφέων βιβλίῳ (veterorum Scriptorum). Καὶ ἤδη αὗται συνεπληρώθησαν μετὰ προσθήκης Πρακτικῶν, ἐκδοθέντων ἐν Ῥώμῃ παρὰ τοῦ Καρδιναλίου Ἀγγέλου Μαΐου. Εἰ καὶ αἱ προσθῆκαι αὗταί εἰσι περίεργοι (ὡς ἡ τοῦ χαρίεντος Νερσῆ Ἐγκύκλιος), ἀλλὰ λυπηρὸν, ὅτι ἐν ταῖς ἐκδοθείσαις ταύταις, παρελείφθησαν μὴ τυπωθεῖσαι αἱ συνδιαλέξεις Λυσίου Μαγίστρου Θεωριανοῦ τοῦ Φιλοσόφου μετὰ τοῦ ῥηθέντος Καθολικοῦ Νερσῆ τοῦ Χαρίεντος, αἵτινες ἐπ' ἀκριβείᾳ ἐκθετικῇ διασαφοῦσιν ὅλην τὴν σειρὰν ἐξ ἀρχῆς τοῦ πράγματος. Ταύτας δὲ, ὡς κατὰ τάξιν καὶ εἱρμὸν βαινούσας τοῦ παρόντος Ὑπομνήματος, καὶ ἀπαραιτήτους, ὡς οἷόν τε ἐν συνόψει ὧδε ἡδέως προστήσομεν.

Κατὰ προτροπὴν Γρηγορίου τοῦ Γ΄, ὁ αὐτάδελφος αὐτοῦ Νερσῆς ὁ Χαρίεις Ἐπίσκοπος ὤν, ἀνελάβετο, ἵνα διαλλάξῃ τὸν κατὰ Κιλικίαν Βασιλέα τῶν Ἀρμενίων Θῶρον ἢ Θεόδωρον μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ὀχὶν Πρίγκιπος Λαμπρῶν, ὅστις ἀπεποιεῖτο, ἵνα ἀναγνωρίσῃ τὴν τοῦ ἀδελφοῦ Βασιλείαν, προκρίνων τοῦ εἶναι αὐτὸν μᾶλλον ὑπὸ τὸν Μανουὴλ Αὐτοκράτορα. Παραγενόμενος γοῦν ὁ Νερσῆς ἐν τῇ Πόλει Μοψουεστίᾳ συνέτυχεν ἐκεῖσε παρεπιδημοῦντι τῷ ἀπ' ἀνεψιᾶς γαμβρῷ τοῦ Αὐτοκράτορος Μανουὴλ, Ἀλεξίῳ τῷ Πρωτοςράτορι; ὅστις ἐζήτησε παρὰ τοῦ Νερσῆ ἐγγράφως Σαφήνειαν τῶν ὑπαρχουσῶν ἐν μέσῳ τῆς τε τῶν Ἀρμενίων καὶ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας δογματικῶν διαφορῶν καὶ ἄλλων ἐθίμων, τουτέςι περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων, περὶ τοῦ Τρισαγίου ὕμνου, περὶ τῆς ἑορτῆς τῆς τοῦ Χριστοῦ Γεννήσεως τῆς ἐν τῇ αὐτῇ ἡμέρᾳ τῶν Θεοφανείων τελουμένης, περὶ ἀζύμων καὶ οἴνου μὴ ἀναμιγνυομένου ὕδατι ἐν τῷ ποτηρίῳ, περὶ ἑψήσεως Μύρου ἐξ ἐλαίου σησάμου; καὶ περὶ νηστειῶν τῶν διαφερουσῶν τῶν Ὀρθοδόξων. Λαβὼν δὲ ὁ Ἀλέξιος τὴν ἐν ταῖς προτάσεσιν αὐτοῦ ἔγγραφον ἔκθεσιν τοῦ Νερσῆ, καὶ ἐπανελθὼν εἰς Βυζάντιον ἐπέδωκε ταύτην τῷ Αὐτοκράτορι· ὅστις ἀναγνοὺς ταύτην ἠρεθίσθη ὑπ' ἄκρας ἐφέσεως πρὸς ἕνωσιν τῆς τῶν Ἀρμενίων Ἐκκλησίας μετὰ τῆς Ὀρθοδόξου· καὶ δὴ σπεύσας ἔγραψε περὶ τούτου πρὸς τὸν Καθολικὸν Γρηγόριον τὸν Γ΄, τῷ 1166 ἔτει, ἀξιῶν ἐπὶ τέλους, ἵνα πέμψῃ τὸν Νερσῆν πρὸς διαπραγμάτευσιν τῶν περὶ εἰρήνης καὶ ἑνώσεως.

Ἡ τοῦ Αὐτοκράτορος ἐπιστολὴ κατέλαβε τὸν μὲν Γρηγόριον τεθνηκότα, τὸν δὲ Νερσῆν Καθολικὸν προχειρισθέντα· ὅστις καὶ ἔγραψεν ἀποκρινόμενος πρὸς τὸν Αὐτοκράτορα δευτέρως τὰ αὐτὰ, ὅσα καὶ πρότερον δι' Ἀλεξίου τοῦ Πρωτοστράτορος ἐξέθετο δι' ἐκφράσεων κατὰ τὸ μᾶλλον καὶ ἧττον συμφώνων τε καὶ μὴ ἐντελῶς τῇ Ὀρθοδόξῳ ὁμολογίᾳ· διότι περὶ τοῦ τῆς ἐνανθρωπήσεως Δόγματος ἐξεφράζετο ὁ Νερσῆς κατὰ τὴν ἐσφαλμένην αὐτῶν ἰδέαν. Τοῦτο δὲ μᾶλλον ὑπερέθισε καὶ ἐξέκαυσε τὸν ζῆλον τοῦ εὐσεβοῦς Ἄνακτος· διὸ καὶ πρὸς ἄμεσον μετὰ τοῦ Καθολικοῦ συνδιάλεξιν περὶ τῆς ὀρθότητος τοῦ Δόγματος, ἐξαπέστειλε τὸν ποτὲ μὲν Μάγιστρον Λυσίαν, εἶτα δὲ τὴν κόμην κειράμενον καὶ τὸν μοναστικὸν ὑπελθόντα βίον, Θεωριανὸν, ὡς περὶ τὴν ἔσω καὶ ἔξω μάθησιν τῷ τότε κλεϊζόμενον· πρὸς ὃν δέδωκε συνοδοιπόρον καὶ ἑρμηνέα μοναχόν τινα Ἀρμένιον Οὔτμανον τὸ ὄνομα, καὶ εἰδήμονα τῆς Ἑλλάδος φωνῆς, τὸν ἐκ τοῦ Μοναστηρίου τοῦ περὶ τὴν Φιλιππούπολιν Ἰβηρικοῦ, ὃ ἔκτισε Γρηγόριος ὁ Μάγιστρος ἐξ Ἀρμενίων, μεταπεμφθέντα. Οἵτινες παραγενόμενοι εἰς τὴν κατὰ Κιλικίαν πόλιν Ῥοὺμ-καλὲ, (Ῥωμαίων

Κουλᾶ καλεῖ ταύτην ὁ Θεωριανός) καὶ εὑρόντες ἐκεῖ τὸν Καθολικὸν Νερσῆν, καὶ περὶ αὐτὸν ἱκανὴν ὁμήγυριν Ἐπισκόπων Ἀρμενίων, Σύρων τινῶν, καὶ διδασκάλων, ἐπέδωκαν αὐτῷ τὴν βασίλειον Ἐπιστολήν, εἰπόντες τὴν ἣν ὁ Αὐτοκράτωρ ἐφίεται καὶ περὶ πολλοῦ ἡγεῖται, τοῦ τε Καθολικοῦ καὶ τῶν περὶ αὐτὸν μετὰ τῆς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἕνωσιν.

Ὁ Θεωριανὸς ἀποβλέπων εἰς τὰ κυριώτερα αἴτια τῆς διαιρέσεως, ἔθετο ὡς βάσιν τῶν διαλέξεων αὐτοῦ τὴν πρὸς τὸν Αὐτοκράτορα ἐπιστολὴν τοῦ Νερσῆ, καὶ ἤρξατο ἐκ τοῦ περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων, τοῦ παρὰ τῶν Ἀρμενίων ἀποβαλλομένου. Ἐν ταύτῃ δὲ τῇ ἐπιστολῇ ὁ Νερσῆς ἐξεφράζετο οὕτω. «Λέγομεν μίαν φύσιν ἐπὶ Χριστοῦ, οὐ κατὰ τὸν Εὐτυχέα συγχέοντες, οὔτε κατὰ τὸν Ἀπολλινάριον ἐλαττοῦντες, ἀλλὰ κατὰ τὸν Ἀλεξανδρείας Κύριλλον, τὰ ἐν τῷ βιβλίῳ κατὰ Νεστορίου γεγραμμένα, «μία ἐστιν ἡ τοῦ Λόγου φύσις σεσαρκωμένη». Εἰς δὲ τὸ ἐν τῇ Ἐπιστολῇ γεγραμμένον τοῦτο παρὰ τοῦ Νερσῆ ὁ Θεωριανὸς ἀντέλεξεν· «ὅτι οὐδόλως αὐτὸ τὸ περὶ μιᾶς ἐπὶ Χριστοῦ φύσεως τοῦ θείου Κυρίλλου συντελεῖ πρὸς βοήθειαν τῆς τῶν Ἀρμενίων ἰδέας, ἀλλὰ τοὐναντίον ἐστὶν ἐντελῶς σύμφωνον τῇ τοῦ Εὐαγγελίου ῥήσει «ὁ Λόγος σὰρξ ἐγένετο»· τουτέστιν, ἡ θεία φύσις προσλαβοῦσα τὴν ἀνθρωπίνην σεσάρκωται· καὶ οὐδόλως σημαίνει, κατὰ τοὺς Ἀρμενίους, φύσις ταὐτὸν Χριστοῦ, καὶ φύσις τοῦ Λόγου σεσαρκωμένη· τὸ γὰρ ὄνομα Χριστὸς, δηλοῖ κυρίως τὸ συναμφότερον, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον· διὰ δὲ τοῦτο καὶ οὐκ ἐῤῥέθη, ὁ Χριστὸς, ἀλλ' ὁ Λόγος σὰρξ ἐγένετο. Δύω φύσεις ὁμολογοῦμεν ἀλλήλαις συνελθούσας καθ' ἕνωσιν ἀσυγχύτως καὶ ἀτρέπτως· καὶ ἡ μὲν σὰρξ, σὰρξ ἐστι καὶ οὐ Θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ· ὁ δὲ Λόγος, Θεός ἐστι καὶ οὐ σὰρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκωσιν οἰκονομικῶς.»

Ὁ Θεωριανὸς, μετ' ἄλλας πεύσεις τοῦ Καθολικοῦ, καὶ ἐνδεικτικὰς αὐτοῦ ἀποκρίσεις περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων ἀπὸ ῥητῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Ναζιανζηνοῦ, Ἀθανασίου καὶ Κυρίλλου μᾶλλον, οὗ τοὺς λόγους περὶ πολλοῦ ποιοῦνται οἱ Ἀρμένιοι σεβαζόμενοι εἰς ἄκρον τὸν θεῖον ἄνδρα, καὶ περὶ τοῦ τί ἐστιν οὐσία, καὶ τί φύσις, τί ὑπόστασις, καὶ τί πρόσωπον, περὶ ὧν κἂν τούτῳ σύμφρων τοῖς Πατράσιν ὤφθη ὁ Καθολικὸς, καὶ τὴν μὲν οὐσίαν καὶ φύσιν ἐπὶ τῶν καθόλου λαμβάνων, τὸ δὲ πρόσωπον καὶ τὴν ὑπόστασιν ἐπὶ τῶν κατὰ μέρος· ἀλλ' ἐπέφερε λέγων ὁ Θεωριανὸς πρὸς τὸν Καθολικὸν καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους, ὅτι οὐδεμία ὑπάρχει συμφωνία ἐν μέσῳ τῶν Ὀρθοδόξων Δογμάτων τῆς ἐν Χαλ-

κηδόνι Τετάρτης Οἰκουμενικῆς Συνόδου, τῆς διαῤῥήδην δογματισάσης ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, Υἱὸν, Κύριον, Μονογενῆ, ἐν δύω φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίςως γνωριζόμενον, καὶ τῆς αἱρετικῆς φρενοβλαβείας τοῦ Νεστορίου τοῦ τὰς δύω φύσεις λέγοντος κεχωρισμένας καὶ οὐχ ἡνωμένας εἰς πρόσωπον ἕν. Καὶ ἐπειδὴ ὁ Καθολικὸς ἀντέφησεν, ὅτι τὸ λέγειν δύω φύσεις, τοῦτο εἰσάγει διαίρεσιν, καὶ ὅτι δειλιᾷ, ἵνα μὴ οἱ Ἀρμένιοι φεύγοντες τὸ τοῦ Εὐτυχοῦς τοῦ μίαν φύσιν λέγοντος, εἰς τὸ τοῦ Νεστορίου ἐμπέσωσι βάραθρον, τοῦ δύω φύσεις καὶ δύω πρόσωπα παρεισάγοντος· ἀντέλεξεν ὁ Θεωριανὸς εἰς ταῦτα, ἐπάγων τὰ τοῦ θείου Κυρίλλου ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ ταῦτα· «κἂν λέγῃ ὁ Νεστόριος δύω φύσεις, σημαίνων τὴν διαφορὰν τῆς σαρκὸς καὶ τοῦ Θεοῦ Λόγου, (ἑτέρα γὰρ ἡ τοῦ Λόγου φύσις καὶ ἑτέρα ἡ τῆς σαρκὸς,) ἀλλ' οὐκ ἔτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν· ἡμεῖς γὰρ ἑνώσαντες ταύτας, ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν, καὶ μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην.» Ἐπὶ μὲν τῆς Τριάδος μίαν φύσιν ὁμολογοῦμεν, ἀλλ' οὐχὶ καὶ μίαν ὑπόστασιν, ἐπὶ δὲ τοῦ Χριστοῦ μίαν μὲν ὑπόστασιν, ἀλλ' οὐχὶ καὶ μίαν φύσιν· καὶ ἔμπαλιν, ἐκεῖ μὲν μία φύσις καὶ τρεῖς ὑποστάσεις, ἐνταῦθα δὲ, μία ὑπόστασις καὶ δύω φύσεις· καὶ ἐπειδὴ ἡ φύσις ἐπὶ τῶν καθόλου καὶ κοινῶν λέγεται, καὶ μερικευθῆναι ἀδύνατον, ὁ δὲ Χριστὸς οὐκ ἔστι καθόλου, οὐδὲ κοινὸν, διὰ τὸ εἶναι μιᾶς ὑποστάσεως, ἑνὸς προσώπου, καὶ ἀτόμου, οὐ γάρ εἰσι Χριστοὶ ἄλλοι ἐκ Θεότητος καὶ ἀνθρωπότητος, ἵνα κατ' ἐκείνων κατηγορηθῇ· καὶ ἐπειδὴ καὶ ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων, καὶ παρὰ τῶν ἁγίων Πατέρων τοῦ τε Ἱεροῦ Ἀμβροσίου Μεδιολάνων, τοῦ ἐν τῷ κατ' Ἀπολλιναρίου λόγῳ διαῤῥήδην λέγοντος, «ἀνεφάνησαν ἕτεροι, τὴν σάρκα τοῦ Κυρίου καὶ τὴν Θεότητα μιᾶς εἶναι φύσεως λέγοντες· ποῖος ᾅδης τὴν τοιαύτην βλασφημίαν ἐξήμεσε;» Γρηγορίου τοῦ Νύσσης ὡσαύτως βοῶντος ἐν τῷ κατ' Ἀπολλιναρίου, «εἰ οὖν ἐν τοῖς ὑπεναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς, λέγω, καὶ τῆς Θεότητος, πῶς μία αἱ δύω εἰσίν;» Ἐπίσης καὶ ὁ Θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μοναχόν φησιν, «ἕνα Υἱὸν, ἓν πρόσωπον τὰ συναμφότερα, γνωριζόμενον μέντοι ἀσυγχύτως, ἀδιαιρέτως, λέγω, οὐκ ἐν μιᾷ μόνῃ φύσει, ἀλλ' ἐν δυσὶ τελείαις· τί πρὸς ταῦτα φῄς;» Ἀποτόμως οὖν ἐκ τῶν ῥηθέντων τούτων πάντων παρὰ τῶν Πατέρων διότι κεκώλυται, τολμηρὸν ἄρα ἐνίστασθαι, μίαν φύσιν λέγειν ἐπὶ Χριστοῦ. Ἀλλ' ὁ Καθολικὸς ἰσχυρῶς ἐξεχόμενος τῶν λόγων τοῦ θείου Κυρίλλου, ἀπεκρίνατο· «εἰ μὴ ἐβούλετο ὁ θεσπέσιος ἀνὴρ δηλῶσαι,

ὅτι τοῦ Λόγου καὶ τῆς σαρκὸς μία φύσις ἐστὶ καὶ μετὰ τὴν ἕνωσιν, οὐκ ἂν τοῦτο ἔλεγε, « μία φύσις τοῦ σαρκωθέντος Λόγου »· διὸ καὶ ἡ τοιαύτη ῥῆσις κλονεῖ τὸν νοῦν μου. »

Τότε ὁ Θεωριανὸς ἀπέδειξεν αὐτῷ, ὅτι τοῦτο λέγων ὁ μακάριος Κύριλλος βάσιν εἶχε τοὺς λόγους τοῦ Μεγάλου Ἀθανασίου κατὰ τοῦ Ἀρείου, ὅς τις δύω φύσεις ἐφλυάρει τοῦ Λόγου, τὴν μὲν ἄκτιστον καὶ φύσει ἰδίαν τῆς οὐσίας τοῦ Πατρὸς, τὴν δὲ κτιστὴν καὶ ἀρχὴν ἔχουσαν τοῦ εἶναι, ὡς οὕτως ἐδόξαζε τὸν Ἰησοῦν Χριστὸν ὁ ἐμβρόντητος. Πρὸς τὴν δόξαν οὖν ταύτην διαμαχόμενος ὁ μέγας Ἀθανάσιος, ἔφη μίαν φύσιν σεσαρκωμένην, καὶ οὐχὶ μίαν μὲν ἄκτιστον καὶ ἰδίαν τοῦ Θεοῦ καὶ Πατρὸς, ἄλλην δὲ κτιστὴν καὶ ἀλλοτρίαν· τὴν χρῆσιν τοίνυν ἐκ τούτου λαβὼν καὶ ὁ Ἱερὸς Κύριλλος, μίαν φύσιν, ἔφη, τοῦ Λόγου σεσαρκωμένην. Ἡ δὲ ἀπόδειξις αὕτη τοῦ Θεωριανοῦ τοσαύτην πεποίηκεν ἐντύπωσιν τῷ Καθολικῷ, ὥστε ἀνεβόησε· « νῦν ἠρέμησεν ὁ νοῦς μου, τὰ ῥήματα ἀκούσας τοῦ Μεγάλου Ἀθανασίου, διότι ἔμαθον τὰ τῆς ἀρχῆς αἴτια τῶν λόγων τούτων, ὧν ἠγνόουν.» Μετὰ δὲ ταῦτα, ἐλθὼν ὁ Σύρος Ἐπίσκοπος Ἰωάννης ἐπέπληξε τὸν Καθολικὸν, ὡς πεισθέντα τοῖς λόγοις τῶν Ῥωμαίων, τῶν τὰ τοῦ Νεςορίου φρονούντων· ὅστις ἀπεκρίθη· «ἐγὼ Ῥωμαίοις οὐ πείθομαι, οὔτε τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως, οὐδ᾽ αὐτῷ τῷ Αὐτοκράτορι, ἐὰν μὴ ἐγὼ ἔγνωκα τὸ ἀληθές· τὴν δ᾽ ἀλήθειαν οὐδὲ ἰσχύω ἀρνήσασθαι, οὐδὲ τοῖς Ἁγίοις Πατράσιν ἀντιπεῖν δύναμαι.» Ὢ πόσον εὐχῆς ἔργον ἦν ἂν ἡ τηλικαύτη τοῦ Καθολικοῦ Νερσῆ ταπεινοτάτη ἐπίγνωσις καὶ ὁμολογία, εἴγε ἐτύγχανε καὶ τανῦν μιμητὰς παρὰ τοῖς ὁμογενέσιν αὐτοῦ Ἀρμενίοις, εἰρήνης καὶ ὁμονοίας τῆς Ἐκκλησίας ἕνεκα!!!

Ἵν᾽ ὅλως διαλύσῃ ὁ Θεωριανὸς πᾶσαν ἀμφιβολίαν, προέτεινεν, ἵνα ἀναγνωσθῇ ὁ τῆς Πίστεως ὅρος τῆς ἐν Χαλκηδόνι τετάρτης Οἰκουμενικῆς Συνόδου μετὰ τῆς διδασκαλίας τῶν πρὸ αὐτῆς τῆς Συνόδου Ἁγίων Πατέρων, καὶ ἐκ ποίων ῥητῶς τούτων ἑκάστη λέξις τοῦ ὅρου ἐλήφθη· καὶ αἱ πλείους αὐτῶν, ὄψεσθε, ὅτι ἐκ τοῦ μακαρίου Κυρίλλου ἐλήφθησαν, πρὸς ὃν ὑμεῖς οἱ Ἀρμένιοι μᾶλλον τῶν ἄλλων ἀκολουθεῖν θέλετε. Ἀναγνωσθέντος οὖν τοῦ ὅρου, καὶ εὑρεθέντων τοῦ τε Ἑλληνικοῦ καὶ Ἀρμενικοῦ ἀπαραλλάκτων, εἶπεν ὁ Καθολικὸς τῷ Θεωριανῷ. «Τοῦτον ἐγὼ ἀναγνοὺς τὸν ὅρον οὐδὲν ἐναντίον τῇ Ὀρθοδόξῳ Πίστει διέγνων, καὶ θαυμάζω πῶς οἱ πρὸ ἡμῶν ἀναιδῶς τοῦτον ἐσυκοφάντησαν καὶ ἀκρίτως κατέκριναν· διὸ καὶ φρονῶ ὅτι, ἐπειδὴ κατὰ πολλῶν αἱρέσεων ἡ ἁγία αὕτη Σύνοδος παρετάχθη, πολλοὺς κατ᾽ αὐτῆς ὁ τῆς σωτηρίας τῶν ἀνθρώπων πολέμιος συκοφάντας ἐξήγειρεν, ἀντὶ τῶν ὧν πολλῶν κατὰ μέσην

καρδίαν πληγῶν, παρ' αὐτῆς ἐδέξατο.» Οἱ εἰλικρινεῖς καὶ εὐσεβεῖς οὗτοι λόγοι, οἱ τυχὸν οὐ κείμενοι ἐν τοῖς Ἀρμενικοῖς χειρογράφοις, ἀλλὰ μαρτυρούμενοι ὑπ' αὐτοῦ τοῦ αὐτηκόου Θεωριανοῦ καὶ ἄλλων ἐγγράφων συγχρόνων Πρακτικῶν, ἐὰν εἰκάζωνται αὐτοῖς ἀμφίβολοι, οἱ διστάζοντες διελθέτωσαν αὖθις πρὸς πληροφορίαν αὐτῶν τὴν τοῦ Νερσῆ ἔκθεσιν τῆς Πίστεως, ὅστις ἐκπεφασμένως ὁμολογεῖ δύω φύσεις ἐπὶ Χριστοῦ ἐν μιᾷ ὑποστάσει· καὶ εἰ οὕτως ἐπίστευεν αὐτὸς, παραλείπεται λυπεῖσθαι περὶ τῆς μακρᾶς διαῤῥήξεως καὶ τοῦ ἀνωφελοῦς ὑπὸ πεισμονῆς σχίσματος μέχρι τούτου. Τὴν γὰρ αὐτὴν Πίστιν περὶ τῶν δύω ἐπὶ Χριστοῦ φύσεων συνεῖδον καὶ ἀνωμολόγησαν, καθὰ προεῤῥέθη, καὶ προγενέστεροι ἄλλοι τοῦ Νερσῆ τῶν Ἀρμενίων Καθολικῶν, ὅ τε κατὰ τὸν Η' αἰῶνα ἀκμάσας Ἰωάννης ὁ ἐπωνυμούμενος Φιλόσοφος, εἶτα ὁ κατὰ τὸν ΙΑ' αἰῶνα Γρηγόριος ὁ καλούμενος Φιλομάρτυς, ὁ τὸ τοῦ ῥηθέντος Ἰωάννου Σύγγραμμα κατὰ Μονοφυσιτῶν, τὸ πολλαῖς Γραφικαῖς μαρτυρίαις ἐμπεπυκνωμένον ἐπικυρώσας, ἑπομένως καὶ ὁ πρὸ τοῦ Νερσῆ Καθολικὸς Γρηγόριος ὁ Γ', καὶ ἀνεψιὸς τοῦ Φιλομάρτυρος συνεπικυρώσας τὸ περὶ τῶν δύω φύσεων ῥηθὲν Σύγγραμμα, ἔγραψε περὶ τὸ τέλος τούτου ταῦτα· «οὕτω πιστεύω κἀγὼ, ὡς ὁ ἁγιώτατος Ἰωάννης Καθολικὸς ἐνταυθοῖ γέγραφε, καὶ τοὺς μὴ οὕτω πιστεύοντας ἀναθεματίζω.»

Τοιουτοτρόπως οὖν διαλυθείσης, ὡς διείληπται, τῆς περὶ τῶν δύω φύσεων ἀμφιβολίας, οὐ κόπους παρέσχε τῷ Θεωριανῷ, ἵνα διαλύσῃ καὶ τὴν περὶ τῶν δύω θελήσεων πρότασιν, τοῦ πῶς λέγειν ταύτας φυσικὰς ἢ ὑποστατικάς; Ἐναπέδειξε δὲ τοῖς Ἀρμενίοις ὅτι, «ἐὰν ὑποστατικὰς ταύτας εἴπωμεν, ἀποδώσομεν ἐπὶ τῆς Ἁγίας Τριάδος τρεῖς θελήσεις, διότι τρεῖς ὑποστάσεις εἰσί· καὶ καθώσπερ μία θέλησις ἐπ' αὐτῆς, διότι μία φύσις, οὕτω δύω θελήσεις ἐπὶ Χριστοῦ, διότι δύω φύσεις ἐπ' αὐτοῦ Θεότητος καὶ ἀνθρωπότητος.» Τὸ Δόγμα τοῦτο οὐ συνήντησε πολλὰς ἀντιφάσεις, ὡς τὸ περὶ τῶν δύω φύσεων, καθὰ συνομολογησάντων τῶν Ἀρμενίων, τάς τε δύω θελήσεις καὶ τὰς δύω ἐνεργείας ἐπὶ Χριστοῦ, διότι τῶν Ἀρμενίων Ἐπίσκοποί τινες παρῆσαν ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ Συνόδῳ, ἐν ᾗ ἀνεκηρύχθησαν καὶ ἀνωμολογήθησαν αἱ δύω ἐπὶ Χριστοῦ θελήσεις τε φυσικαὶ καὶ ἐνέργειαι ἀδιαιρέτως, ἀτρέπτως καὶ ἀσυγχύτως, καὶ κατὰ τῶν μὴ οὕτω δοξαζόντων, ὡς αἱρετικῶν, ἐξεφωνήθη καθαίρεσις μὲν πρὸς τοὺς ἐκ τοῦ Κλήρου, ἀνάθεμα δὲ πρὸς τοὺς ἄλλους· ἡ γὰρ τῶν Ἀρμενίων ἐκ συναρπαγῆς καὶ ἀπάτης προκατάληψις ἐστήρικται κατὰ τῆς Τετάρτης Ἁγίας Συνόδου, τῆς τοὺς μίαν φύσιν ἐπὶ Χριστοῦ πρεσβεύοντας καταδικαζούσης.

Περὶ δὲ τοῦ Τρισαγίου ὕμνου, τοῦ ἐν ταῖς Πράξεσι τῆς Τετάρτης Ἁγίας Συνόδου καὐτοῦ ἀναφερομένου, δυσχερὲς πάνυ ἐγένετο τὸ καταπεισθῆναι τόν τε Καθολικὸν καὶ τοὺς περὶ αὐτὸν ἐπὶ τῷ ἀποβαλεῖν τοῦ ὕμνου τὴν ἄτακτον προσθήκην «ὁ ςαυρωθεὶς δι' ἡμᾶς»· ὁ γὰρ Νερσῆς ἐδικαιολόγει τὸ ἔθος (1), ὅτι ἡ τῶν Ἀρμενίων Ἐκκλησία ἀνάγει τὸν ὕμνον, οὐχὶ εἰς τὴν Ἁγίαν Τριάδα, ἀλλ' εἰς μόνον τὸ τοῦ Χριστοῦ πρόσωπον, ἔνθεν τοι καὶ ἡ προσθήκη οὐδεμίαν αἵρεσιν ἐμπεριέχει. Ὁ δὲ Θεωριανὸς παρέστησεν ἐξ ἐναντίας αὐτῷ τὸ τῶν Ἁγίων Πατέρων παράδειγμα, καὶ τὸ ἀρχαῖον πάσης τῆς Οἰκουμενικῆς Ἐκκλησίας ἐπικρατῆσαν ἔθος, καὶ ὅτι ἡ τοῦ Κναφέως αὕτη προσθήκη στυγερὰ τῇ Ἐκκλησίᾳ καὶ ἀπόβλητος. Ἀπεκρίνατο δὲ ὁ Νερσῆς· «ἡμῖν μὲν εὐχερὲς τὸ μεταβαλεῖν ἔθη τινὰ καὶ ὁμολογῆσαι καὶ τὰς δύω φύσεις ἐπὶ Χριστοῦ, ἀλλ' ἀποβαλεῖν τὴν ἐν τῷ Τρισαγίῳ ὕμνῳ προσθήκην οὐ δυνάμεθα.»

Καὶ ἐὰν τὸ παρ' αὐτοῖς ἔθος, ἢ μᾶλλον ὁ εἷς λόγος, ἐπιφέρῃ αὐτοῖς τὴν τῶν Θεοπασχιτῶν ὑποψίαν, καὶ ὡς σκάνδαλον, διαταράττει ὅλην τὴν Ἐκκλησίαν Ἀνατολικήν τε ἐπίσης καὶ Δυτικήν, αἵτινες ἀρχαιόθεν παρέλαβον τὸ ψάλλειν τὸν ὕμνον τοῦτον πρὸς τὴν Ἁγίαν Τριάδα, πρέπον ἄρα μόνοις τοῖς Ἀρμενίοις, διὰ τὸ τοιοῦτον αὐτῶν ἔθος καὶ τὸν ἕνα μόνον λόγον, ἵνα ἐξέχωνται ταύτης τῆς προσθήκης ἐν ἐπιμονῇ τοσαύτῃ, ἥτις πρόκειται ὡς πέτρα σκανδάλου βαρυτάτου; Παραιτούμεθα τοῦ παραιτέρω χωρῆσαι εἰς διενέξεις περὶ τοῦ ποία ἡ τοῦ Τρισαγίου χρῆσις ἡ ὀρθοτέρα, ἐνώπιον τῆς διαπρυσίου μαρτυρίας τῶν τοσούτων αἰώνων καὶ τῶν μεγάλων Ἐκκλησιῶν, ἥτις σαφῶς δείκνυσιν ἐν ποίῳ μέρει ἡ ἀλήθεια. Καὶ ἐὰν, κατὰ τοὺς λόγους τῶν Ἀρμενίων, τὸ πρᾶγμα ὑφίσταται οὐκ ἐν δόγματι, ἀλλ' ἐν λόγῳ, ἁμαρτάνοντες αὐτοὶ ἐνώπιον τῶν ἄλλων χριστιανῶν, κατὰ τὸν θεσπέσιον Παῦλον, οὐχ ἁμαρτάνουσιν ἄρα ἐνώπιον καὶ αὐτοῦ τοῦ Κυρίου; Ὁ γὰρ Ἀπόστολος οὐχ οὕτω προσεφέρετο πρὸς ἐκπλήρωσιν τῆς ἀγάπης καὶ ἐν αὐτοῖς ἔτι τοῖς ἐλαχίστοις. Τί δὲ αὐτὸς ἔγραφε πρὸς Κορινθίους; «Εἰ βρῶμα σκαν-

(1) Οὐ μόνον τότε, ἀλλὰ καὶ μέχρι τούτου λέγουσιν οἱ Ἀρμένιοι, ὅτι πρὸς τὸ δεύτερον πρόσωπον αὐτοὶ ἀνάγοντες τὸν Τρισάγιον ὕμνον, καὶ οὐχὶ εἰς ὅλην τὴν Ἁγίαν Τριάδα, οὐδόλως δοξάζουσι τὴν Θεότητα πάσχουσαν, πιστεύοντες, ὅτι ἡ ἀνθρωπότης μόνη τοῦ Χριστοῦ τὸ δι' ἡμᾶς πάθος ὑπέμεινεν. Ἀλλ' ἡ τῶν Ἀρμενίων Ἐκκλησία, ἰδέτωσαν, ὅτι κατ' ἀρχὰς τοῦ τετάρτου αἰῶνος ὕπαρξιν συστάσεως ἔλαβε, καὶ ἥτις θέλουσα, ἵνα καὶ κατὰ τοῦτο διαφέρῃ ἀπὸ τῶν μεγάλων καὶ ἀρχαιοτέρων ταύτης Ἐκκλησιῶν καὶ μητέρων αὐτῆς, τῶν ἀποδιδουσῶν ἐκ συμφώνου τὸν ὕμνον τῇ Παναγίᾳ Τριάδι, διὰ τῆς τοιαύτης προσθήκης «ὁ σταυρωθεὶς δι' ἡμᾶς», ἣν ἀπὸ Πέτρου τοῦ Κναφέως καὶ τῶν Σύρων εἶτα περιέλαβεν, οὐχ ὑπόκειται ἄρα τῇ ἐν τῷ Εὐαγγελίῳ Οὐαὶ κατακρίσει τοῦ Κυρίου, διὰ τὸ ὃ παρέχει σκάνδαλον; κρινέτωσαν.

δαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.» (Α΄. πρὸς Κορινθ. κεφ. Η΄.) Ἀλλ᾽ ἐνταῦθα τὸ πρᾶγμα οὐχὶ περὶ φθαρτοῦ βρώματος, ἀλλὰ περὶ ἑνότητος καὶ δόξης τοῦ ὀνόματος Θεοῦ. Ὅθεν καὶ εἰσχωρεῖ ἄρα ἐν τούτῳ φιλαυτία ἢ ἰσχυρογνωμοσύνη, ἐξ ἧς ὁ χιτὼν τοῦ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν διήρηται, ὅταν ἡ ἀποβολὴ ἑνὸς λόγου, μὴ βλάπτοντος τὸ Δόγμα, δύναται συνάψαι τὰ διεστῶτα;

Οἱ Ἀρμένιοι οὐ δύνανται ἀρνηθῆναι ταύτην τὴν ἀλήθειαν, ὅτι ἡ μόνη τῷ ὄντι αἰτία, ἥτις ἐνέβαλε τὸν Νερσῆν εἰς ἀμηχανίαν, ἵνα ἀποβάλῃ τὴν ἐν τῷ Τρισαγίῳ ταύτην προσθήκην, καλῶς ἐννοεῖται. Τὸ περὶ τῶν δύω φύσεων μὲν Δόγμα ἦν, καὶ ἔστιν ἀνώτερον τοῦ πνεύματος τοῦ πλείστου μέρους τοῦ λαοῦ τῶν Ἀρμενίων, ἀπ᾽ ἐναντίας δὲ ὁ Τρισάγιος ὕμνος, ὃν οὕτω πανδήμως ψάλλουσιν ἐν τῇ Λειτουργίᾳ οἱ Ἀρμένιοι, ἐν τῷ στόματί ἐστι κοινῶς ἑκάστου. Τοῦτο δὲ τὸ διὰ τῆς συνεχείας εἰς ἕξιν χωρῆσαν ἔθος, καὶ βαθέως ἐν τῷ νοΐ αὐτῶν ῥιζωθὲν, κατέστη δυσαπάλειπτον. Ὁ Νερσῆς δ᾽ ὅμως ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Ἐπιστολῇ ἔγραφεν, ὅτι, ἐάν ποτε ἀποκατασταθῇ ἡ ἐν μέσῳ τῶν δύω Ἐθνῶν ὁμόνοια, καὶ τούτου αὐτοῦ δύναται γενηθῆναι ἡ διόρθωσις.

Προεβλήθη καὶ τὸ διαφιλονεικούμενον περὶ τῶν ἑορτῶν τῆς Χριστοῦ Γεννήσεως καὶ τῶν Θεοφανείων, τῶν τελουμένων παρ᾽ Ἀρμενίοις ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ. Περὶ οὗ ὁ Καθολικὸς ἔφη, ὅτι οὕτω κατ᾽ ἀρχαῖον ἔθος παρελάβομεν, καὶ ἐνίστατο ἀποδεῖξαι τὴν τῶν ἡμερῶν ἀπαρίθμησιν ἀπὸ τῶν λόγων τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, ὅτι ἐν τῇ ἑορτῇ τοῦ ἱλασμοῦ, τῇ τελουμένῃ τῇ δεκάτῃ τοῦ παρ᾽ Ἑβραίοις μηνὸς Τισρὸν, τῇ συμπιπτούσῃ τῇ ΚΖ΄ Σεπτεμβρίου, εἰσῆλθεν ὁ Ζαχαρίας ἐν τῷ Ναῷ καὶ εἶδε τὴν τοῦ Ἀγγέλου ὅρασιν. Ὁ δὲ Θεωριανὸς ἀπέδειξε τοὺς Ἑβραϊκοὺς μῆνας μὴ ἀκολουθοῦντας τοῖς ἡμετέροις ἡλιακοῖς, καὶ ὅτι ἐκεῖνοι σεληνιακοὶ ὄντες, ἥττονές εἰσι τῶν ἡμετέρων μηνῶν. Ὅθεν ἕνεκα ταύτης τῆς ἀνισότητος τῶν παρ᾽ ἡμῖν καὶ τῶν παρ᾽ Ἑβραίοις, λανθάνεται ὁ Καθολικὸς, μὴ εἰδὼς βεβαίως, ἐὰν ἡ δεκάτη τοῦ Τισρόν ἐστιν ἡ τοῦ Σεπτεμβρίου εἰκοστὴ ἑβδόμη· καὶ εἰ τοῦτο ἀγνοεῖ, οὐ δὲ τὴν τοῦ Ἰωάννου σύλληψιν οἶδεν, ἵνα κατὰ τὸν ἕκτον μῆνα ἐκ ταύτης εὕρῃ καὶ τὴν ὑπερκατανόητον τοῦ φρικτοῦ μυστηρίου Σύλληψιν τοῦ προαιωνίου Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἐθεμελιοῦτο ὁ Θεωριανὸς μάλιστα ἐπὶ τοῖς λόγοις τοῦ θείου Χρυσοστόμου (Ὁμιλ. ΛΑ΄.), τοῖς εἰς τὴν Γενέθλιον ἡμέραν τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν ἐκφωνηθεῖσιν. Ἐξάγει γοῦν ὁ ἱερὸς Πατὴρ τήν τε τῶν ἡμερῶν ἐπαρίθμησιν καὶ τὸν τοῦ θείου τοκετοῦ χρόνον ἀπὸ τῶν ἀρχαίων δημο-

σίως κειμένων ἐν Ῥώμῃ Κωδίκων, τῶν σημειούντων τὴν δόγματι τοῦ μοναρχοῦντος Αὐγούστου γενομένην πανταχοῦ τοῦ Ῥωμαϊκοῦ Κράτους πρώτην τῶν ὑπηκόων ἀπογραφὴν, καθ' ἣν καὶ ὁ Ἰωσὴφ ἀναβὰς ἀπὸ Ναζαρὲτ εἰς Βηθλεὲμ πόλιν τῆς Ἰουδαίας, ὅθεν κατήγετο, ἀπεγράφη καὶ αὐτὸς μετὰ Μαριὰμ τῆς αὐτοῦ μνηστῆς καὶ τοῦ ἀρτιγεννηθέντος Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Καὶ προστίθησιν ἔτι ὁ μακάριος ἀνὴρ λέγων· ὅτι παρὰ τῶν τὴν Ῥώμην οἰκούντων καὶ ἀκριβῶς ταῦτα εἰδότων περειλήφαμεν τὴν ἡμέραν τῆς τοῦ Χριστοῦ ὑπὲρ πάντα λόγον Γεννήσεως (1). Πρὸς ταῦτα ὁ Καθολικὸς ἀπεκρίνατο. « Ἐγὼ τὸν τοῦ Ἱεροῦ Χρυσοστόμου λόγον τοῦτον, τὸν πότε δεῖ τὴν τῆς Χριστοῦ Γεννήσεως ἑορτὴν πανηγυρίζειν, μέχρι τούτου οὐχ ἑώρακα, ἀλλ' ἐμνήσθην ὅτι, ἐν τῇ περὶ διαφιλονεικίας τοῦ Πάσχα ὑποθέσει τῇ προξενησάσῃ τοσαύτας ποτὲ διενέξεις, οἱ τῆς Ἀσίας Ἐπίσκοποι, ἀφέντες τέως τὸ περὶ τούτου ἐκ μακρῶν χρόνων παρ' αὐτοῖς ἔθος, ἠναγκάσθησαν ὑποκύψαι τῇ τῆς Οἰκουμενικῆς Ἐκκλησίας κοινῇ τάξει. Ὅθεν καὶ τούτου ἡ διόρθωσις γενήσεται σὺν Θεῷ, εἴ γε διορθωθείη τὰ κυριώτερα. »

Ἐξητάσθη καὶ τὸ περὶ τῆς κατασκευῆς τοῦ Μύρου· ὁ δὲ Νερσῆς ἀπελογήθη, ὅτι τὸ Μύρον ἡμῶν κατασκευάζεται ἀπὸ ἐλαίου σησάμου, καὶ οὐκ ἀπὸ δένδρων ἐλαιῶν, διότι ἐν τῇ χώρᾳ τῶν Ἀρμενίων ἐλαιῶνες οὐχ ὑπάρχουσι διὰ τὸ ψυχρὸν τοῦ κλίματος, ὅτι ἀνάγκη τὸ ἔλαιον, ὅπερ ἐν τῇ χώρᾳ εὑρίσκεται, ἐκεῖνο καὶ λαμβάνειν εἰς κατασκευὴν τοῦ Μύρου, καὶ ὅτι ἐν τούτῳ οὐ συνεῖδε σφάλμα πνευματικὸν μέγα. Ὁ δὲ Θεωριανὸς ἀπεκρίνατο, ὅτι ἐγὼ βλέπω (τὴν Κιλικίαν ἐννοῶν) πολλοὺς ἐλαιῶνας ἐνταῦθα καὶ ἔλαιον ἱκανόν· ἀλλ' ἐν τῇ δευτέρᾳ Ἀνατολῇ, ἔφη ὁ Καθολικὸς, (δηλῶν τὸ Ἐτζμιαδζὶν, τὴν ἀρχαίαν Καθέδραν ἀπὸ τοῦ Ἁγίου Γρηγορίου μέχρι ταύτης τῶν Ἀρμενίων Καθολικῶν, ὅπου ἡ τοῦ Μύρου αὐτῶν ἕψησις ὁριστικῶς μέχρι τούτου τελεῖται,) ἐλαιῶνες ὅλως οὐχ ὑπάρχουσι· διὸ καὶ ὃ παρελάβομεν, διαφυλάττομεν ἕως νῦν· ἀλλὰ καὶ τοῦτο ῥᾷον διορθωθῆναι δύναται.

Ἀπορίας ἄξιον, ὅτι ἐν τῇ συνδιαλέξει τοῦ Θεωριανοῦ μετὰ τοῦ Καθολικοῦ Νερσῆ οὐδὲ ἀναφέρθη, οὐδὲ διεφιλονεικήθη, τὸ ὅτι οἱ

(1) Πασίδηλον ἦν τὸ πρᾶγμα, διότι καὶ ὁ θεῖος Ἰουστῖνος ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Ἀντώνιον τὸν Εὐσεβῆ ἀπολογίᾳ αὐτοῦ τῇ Β' φησί. «Κώμη δέ τις (Βηθλεέμ) ἐστιν ἐν χώρᾳ τῶν Ἰουδαίων, ἀπέχουσα σταδίους τριάκοντα πέντε Ἱεροσολύμων, ἐν ᾗ ἐγεννήθη Ἰησοῦς Χριστὸς, ὡς καὶ μαθεῖν δύνασθε ἐκ τῶν ἀπογραφῶν, τῶν γενομένων ἐπὶ Κυρηνίου τοῦ ὑμετέρου ἐν Ἰουδαίᾳ πρώτου γενομένου Ἐπιτρόπου ». Τὰ αὐτὰ ἐκθέτει καὶ ὁ Τερτυλλιανὸς κατὰ Μαρκίωνος Βιβλ. Δ'. Κεφ. Ζ'. οἵτινες παραπέμπουσι τοὺς Ἐθνικοὺς καὶ αἱρετικοὺς εἰς τοὺς ἐν Ῥώμῃ δημοσίους Κώδικας, καὶ ἔτι τότε διασωζομένους, πρὸς πληροφορίαν αὐτῶν καὶ βεβαίωσιν.

Ἀρμένιοι ἐν τῇ Μυσταγωγίᾳ οἶνον μόνον προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, καὶ τὸ ὅτι ἔτι, δι' ἀζύμων λειτουργοῦσι. Καὶ περὶ μὲν τοῦ πρώτου, προβάλλουσιν αὐτοὶ τὴν ἐν τῷ κατὰ Ματθαῖον ἑρμηνείαν τοῦ Χρυσοστόμου, πρὸς ὑποστήριξιν τοῦ τοιούτου αὐτῶν ἐθίμου. Ἀλλ' ἀκουσάτωσαν τὰ τῆς Ἕκτης Οἰκουμενικῆς Συνόδου διὰ τοῦ ΛΒ' Κανόνος (1) ἀνακηρυχθέντα παρὰ τῶν Πατέρων ταῦτα. « Ὡς ἂν μὴ καὶ ἀπὸ τοῦ νῦν κατέχοιντο, οἱ Ἀρμένιοι, τῇ ἀγνοίᾳ, τὴν τοῦ θείου Πατρὸς διάνοιαν ἀποκαλύπτομεν· τῆς γὰρ πονηρᾶς τῶν ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης (ἀπὸ Τατιανοῦ μαθητοῦ Ἰουστίνου τοῦ Φιλοσόφου καὶ Μάρτυρος), οἳ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων οὗτος ὁ Θεοφόρος Ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέσεως διδαχὴν, καὶ δεικνὺς ὡς ἐξ ἐναντίας τῆς Ἀποστολικῆς ἵενται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον. Τίνος ἕνεκεν, λέγει ὁ Ἱερὸς Πατὴρ ἐν τῇ Ἑρμηνείᾳ εἰς τὸ κατὰ Ματθαῖον, οὐχ ὕδωρ ἔπιεν ἀναστὰς, ἀλλ' οἶνον »; Ἀλλ' ὁ φωστὴρ τῆς Ἐκκλησίας διὰ τῆς τοιαύτης κατασκευῆς τοῦ λόγου, ὡς οἱ τῆς Ἕκτης Συνόδου Πατέρες ἀνεκήρυξαν, ἄλλην αἵρεσιν τῶν ὑδροπαραστατῶν πρόῤῥιζον ἀνασπᾶσαι ἐβούλετο· ὅστις ἐν τῇ αὐτοῦ Λειτουργίᾳ, ὕδωρ τῷ οἴνῳ μιγνῦναι ἐν τῷ Ποτηρίῳ τῇ Ἐκκλησίᾳ παρέδωκε, πρὸς παράστασιν τοῦ ἀπὸ τῆς τιμίας πλευρᾶς τοῦ Σωτῆρος ἐξελθόντος αἵματος ὁμοῦ καὶ ὕδατος· καὶ γὰρ καὶ Ἰάκωβος ὁ Ἀδελφόθεος, καὶ ὁ Ἱερὸς Κλήμης καὶ ὁ Μέγας Βασίλειος ἐγγράφως πρὸς ἡμᾶς παρέδωκαν, οὕτω τελειοῦν ἐν τῇ θείᾳ Λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου τὸ Ἱερὸν Ποτήριον. Ἀλλὰ καὶ ἡ κατὰ τὸ 418 ἔτος ἐν Καθαργένῃ συγκροτηθεῖσα Σύνοδος, Κανόνι ΜΔ', ῥητῶς οὕτως ἐθέσπισεν· « ἵνα ἐν τοῖς Ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου προσενεχθείη, ὡς ὁ Κύριος παρέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου, καὶ πρὸς τοὺς οὕτω μὴ ποιοῦντας, κατὰ τὴν παραδοθεῖσαν παρὰ τῶν Ἀποστόλων τάξιν, Ἐπισκόπους τε καὶ Πρεσβυτέρους καθαίρεσιν ἐξεβόησε. »

Περὶ δὲ τῆς παρ' Ἀρμενίοις χρήσεως τῶν ἀζύμων ἐν τῇ οἰκείᾳ αὐτῶν μυσταγωγίᾳ, δείκνυται καὶ αὕτη ὡς καινοτομία, καί τοι αὐτῶν ἐνισταμένων, ὅτι ἡ τοιαύτη χρῆσίς ἐστι παρ' αὐτοῖς ἀρχαία. Ἀλλὰ τίς πιστεύσειεν, ὅτι ὁ θεῖος Γρηγόριος τῆς Ἀρμενίας, καὶ οἱ ἐφεξῆς ἐκ τοῦ γένους αὐτοῦ ἀλληλοδιαδόχως μέχρις Ἰσαὰκ Α' τοῦ

(1) Πρὸ γὰρ ταύτης τῆς Συνόδου δείκνυται, ὅτι εἰσήχθη παρ' Ἀρμενίοις ἡ καινοτομία· εἰ γὰρ ἦν αὕτη πρότερον, οὐκ ἂν αἱ πρὸ ταύτης Οἰκουμενικαὶ τῶν Συνόδων ἐδύναντο τῇ σιωπῇ παρελθεῖν ταύτην, καθώσπερ καὶ τὰ παρ' αὐτοῖς ἄζυμα.

μεγάλου (Μὲδζ) δέκα τὸν ἀριθμὸν Καθολικοὶ, οἱ ἀπὸ τοῦ 306, μετὰ θάνατον τοῦ Ἁγίου Γρηγορίου, καὶ ἐφεξῆς τὴν τῆς Ἀρμενίας Ἐκκλησίαν Ἀρχιερατικῶς ἰθύναντες, καὶ παραλαβόντες ὅλην τὴν τῆς θείας Ἱερουργίας διατύπωσιν (τὴν μεταδοθεῖσαν καὶ τοῖς αὐτῶν διαδόχοις), τὴν τότε ἤδη ἐντελῶς καθορισθεῖσαν, διότι ὁ τηνικαῦτα αἰὼν ἦν Βασιλείου καὶ Χρυσοστόμου, ἐδύναντο ἄρα τόσον ταχέως καὶ παραυτίκα ἀποχωρισθῆναι τῶν μακαρίων αὐτῶν Διδασκάλων, καὶ δεχθῆναι, παρὰ τὴν διδασκαλίαν αὐτῶν, πρὸς ἐκτέλεσιν τῶν θείων Μυστηρίων, τὰ τῆς παλαιᾶς Διαθήκης ἄζυμα, ἀντὶ τοῦ τῆς καινῆς Διαθήκης ἄρτου, ὃν ὁ Κύριος ἐν τῷ Μυστικῷ Δείπνῳ εὐλόγησε; Τὰ ἄζυμα εἰσήχθησαν ἐν τῇ τῶν Ἀρμενίων Ἐκκλησίᾳ κατὰ τὸν Ἱεροσολύμων Δοσίθεον (Βιβλ. ΙΒ΄. Περὶ τῶν ἐν Ἱεροσολύμοις Πατριαρχευσάντων), τῷ ϛ΄ αἰῶνι, ἐπὶ τῆς ἐν τῇ πόλει Τοβὶν ἢ Τίβιον συστάσης ὑπὸ Νερσῆ τοῦ Β΄ Συνόδου, ἐν ᾗ, μετὰ τὴν ἀνάγνωσιν τῶν τε τοῦ Τιμοθέου Αἰλούρου καὶ τῶν Σύρων γεγραμμένων κατὰ τῆς Τετάρτης ἐν Χαλκηδόνι Συνόδου, ἀναθεματίζουσιν αὐτὴν καὶ δέχονται τὴν μονόφυσιν, τὸ τοῦ Κναφέως, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐν τῷ Τρισαγίῳ, καὶ δὴ καὶ τὰ ἄζυμα· καθορίζουσι τῇ εἰσηγήσει τῶν Σύρων γίνεσθαι τὴν τῆς Χριστοῦ Γεννήσεως καὶ τῶν Θεοφανείων Ἑορτὴν ὁμοῦ τῇ ἕκτῃ Ἰανουαρίου, καὶ διατάττουσι μετὰ ἀναθέματος ἀποστῆναι τοῦ λοιποῦ τῆς κοινωνίας τῆς Κωνσταντινουπόλεως, Ἱερουσαλὴμ καὶ Καισαρείας καὶ ἁπλῶς τῶν Ῥωμαίων, ὡς Νεστοριαζόντων. Τοιουτοτρόπως οὖν, διὰ ταύτης τῆς Συνόδου καὶ τῶν ἐφεξῆς δύω ἐπὶ Μωϋσέως τοῦ Β΄, καὶ Ἀβραὰμ τοῦ Α΄ μάλιστα, διὰ τὸ ἐκφωνηθὲν ἀνάθεμα κατὰ τῶν ὀπαδῶν τῆς Τετάρτης Συνόδου, καὶ τὰς εἰσαχθείσας καινοτομίας, ἀποχωρισθέντες οἱ Ἀρμένιοι τῶν μεγάλων Ἐκκλησιῶν, εὑρέθησαν ἐγκαταλελειμμένοι, καὶ ἐν μόνῳ τῷ κύκλῳ τῆς ἰδίας ἀτομικότητος περιωρισμένοι.

Ἐν δὲ τούτῳ, ἐξακολουθεισῶν τῶν ἐν μέσῳ τοῦ Καθολικοῦ Νερσῆ καὶ τοῦ Θεωριανοῦ συνδιαλέξεων, τὸ ἐκ περιστάσεως συμβὰν, ἀφορμὴ ἐγένετο νέας ἐρωταποκρίσεως. Οἱ τῶν Ἀρμενίων Ἱερεῖς ἤρξαντο ψάλλειν τὴν τοῦ Ἑσπερινοῦ Ἀκολουθίαν ἔξω τῆς Ἐκκλησίας, κατὰ τὴν αὐτῶν συνήθειαν· ὁ Καθολικὸς ἐξεφράσθη πρὸς τὸν Θεωριανὸν, ὅτι κατὰ τὴν πρὸς αὐτοὺς τῶν διδασκάλων αὐτῶν παράδοσιν, μόνον τὴν Λειτουργίαν ἔνδον τοῦ Ναοῦ ἐπιτελεῖν παρέλαβον, τοῦ λαοῦ παντὸς ἔξω ἑστάναι ἀεὶ ὀφείλοντος, διὰ τὸ πρὸς τὸν ἅγιον τόπον σέβας καὶ πρὸς ἐπίγνωσιν τοῦ ὅτι πλήρεις ἁμαρτιῶν ἐσμέν. Ὁ δὲ Θεωριανὸς προτείνας τὸν τῆς ἐν Νικαίᾳ πρώτης Οἰκου-

μενικῆς Συνόδου ΙΑ΄ Κανόνα περὶ τῶν παραπεσόντων, ἀπέδειξεν ἐκ τῶν Πατέρων, ὅτι κατὰ τὸ βάρος τῶν ἁμαρτημάτων, ἦν καὶ ὁ βαθμὸς τῆς ἐν ἐπιτιμίῳ στάσεως, τῶν μὲν ἔξω τῆς Ἐκκλησίας ἐν τῷ Νάρθηκι τριετίαν ἱσταμένων καὶ τῶν θείων ἀκροάζεσθαι Γραφῶν, τῶν δὲ ἐντὸς μὲν τῆς Ἐκκλησίας εἰσέρχεσθαι, ἀλλ' ἐξιέναι μετὰ τῶν Κατηχουμένων δι' ἐνιαυτῶν δύω. Πρὸς ταῦτα ὁ Νερσῆς ἀπεκρίνατο· «καὶ αὐτὴ ἡ παράβασις εὐχερὴς πρὸς διόρθωσιν, εἰ μόνον περὶ τὴν Πίστιν ὁμοφρονήσομεν.»

Μετὰ δὲ τὰς διαλέξεις ταύτας ὁ Νερσῆς περιπαθῶς ὡμίλησε τῷ Θεωριανῷ· ἐν δὲ ταῖς λέξεσιν αὐτοῦ ἐμφαίνεται καὶ ἡ συμφωνία τῶν αὐτοῦ εἰλικρινῶν αἰσθημάτων, καὶ μᾶλλον ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Μανουὴλ Ἐπιστολῇ αὐτοῦ. «Ἡ Χριστιανικὴ Αὐτῆς ψυχὴ, ἔγραφεν, ἄκρως ἐπιθυμεῖ τὸ τῆς ἑνότητος τῆς Ἐκκλησίας πέρας, καὶ ἐν τῇ πρὸς ἀλλήλους τῶν Αὐτῆς τέκνων ὁμονοίᾳ, τὴν τῆς Θεαρχικῆς Τριάδος δόξαν, ἀντὶ τοῦ ὑφισταμένου περί τε τὰ τῆς Πίστεως καὶ τῶν παραδόσεων ἀμοιβαίου ψόγου καὶ κατακρίσεως. Ἡμεῖς δὲ, ὅσον τὸ παρ' ἡμῖν, τοσοῦτόν ἐσμεν πρόθυμοι ἐν τούτῳ, ὥστε οὐ μόνον ἀποτεινόμεθα πρὸς τοὺς ζῶντας; ἀλλὰ καὶ πρὸς αὐτοὺς ἔτι τοὺς ἐν τοῖς τάφοις, εἴγε ἦν τοῦτο δυνατὸν, ἵνα ἀναφανῶσιν, ὥς περ ὁ Λάζαρος, εἰς τὴν φωνὴν τῆς παρακλήσεως ἐπὶ τηλικαύτης θεοφιλοῦς πράξεως; (οὕτω ῥητῶς κεῖνται οἱ λόγοι οὗτοι ἐν τῷ Ἀρμενικῷ Πρωτοτύπῳ), ἀλλὰ δειλιῶ ἐπὶ τοῦ νῦν καιροῦ, ἵνα μὴ ἡ ἔνθερμος ἐμὴ προθυμία συναντήσῃ σπουδαῖόν τι πρόσκομμα· φοβοῦμαι γὰρ, μὴ ἡ νῆσος ἡμῶν, ἡ περικυκλουμένη ἁλμυροῖς κύμασιν ἀπιστίας, καταποντισθῇ εἰς διαφόρους σκευωρίας· ἀλλὰ πιστεύω εἰς τὸ τοῦ Θεοῦ ἔλεος, διότι βλέπω ἐν Αὐτῇ ἀναζωπυρούμενον τὸν ζῆλον τῶν Αὐτῆς προγόνων τοῦ Κωνσταντίνου καὶ τοῦ Θεοδοσίου, οἵτινες οὐ τοσοῦτον ἐφρόντιζον περὶ τῆς προσκαίρου αὐτῶν Βασιλείας, ὅσον περὶ στερεώσεως τῆς Πίστεως. Ὑπὲρ τοὺς ἑξακοσίους ἤδη χρόνους εἰσὶν, ἐξ ὅτου τὰ τοῦ Χριστοῦ μέλη διῃρέθησαν, καὶ ἀνάγκη τανῦν χρήσεως πολλῶν πνευματικῶν ἰατρικῶν πρὸς ἐξομάλυνσιν τῶν σκληρυνθέντων· καὶ τοῦτο πάντως γενήσεται, ἐὰν ἐν τῷ Αὐτῆς Κλήρῳ καὶ τῷ λαῷ ἐμπνεύσῃ τοῦτο αὐτὸ, ἵνα ἀφήσωσι τὸ καθ' ἡμῶν ἐχθρικὸν φρόνημα, καὶ πᾶσαν κατηγορίαν καὶ ὕβριν, καὶ ἐπιτάξῃ πρὸ πάντων ἐπὶ τῷ γενέσθαι καθ' ὅλην τὴν Αὐτοκρατορίαν ἐν ταῖς Ἐκκλησίαις δέησιν κοινὴν πρὸς Κύριον ὑπὲρ ἀγαθοῦ ἔργου, ἀγαθὸν τέλος, ὡς καὶ ἡμεῖς ἐν πάσαις ταῖς ἡμῶν Ἐκκλησίαις τοῦτο διετάξαμεν. Δῴη δὲ ὁ Θεὸς, μετὰ τοσαύτην μακρὰν διαίρεσιν, τὸ ἔλεος αὐτοῦ ἄφθονον.»

Τοιουτοτρόπως μὲν ἔγραφεν ὁ Καθολικὸς πρὸς τὸν Ἄνακτα, πρὸς δὲ τὸν Θεωριανὸν μετὰ πολλῆς κατανύξεως εἶπε ταῦτα· « Ἐδολούγην αὐτὸς ἐγώ, κατὰ τὸν Ἀπόστολον Παῦλον, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, μόνον ἵνα σωθῶσι. Τοῦτο λέγω κἀγὼ ὑπὲρ τοῦ ἐμοῦ Γένους· διότι καὶ ἀποθανεῖν ὀφείλει ὁ Ποιμὴν ὁ καλὸς ὑπὲρ τῶν προβάτων αὐτοῦ, ἵν' οὕτω δυνηθῶ εἰπεῖν θαῤῥούντως· «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.» Ἔγραψα οὖν πρὸς τοὺς ἐμοὺς πανταχοῦ γῆς Ἀρμενίων Ἐπισκόπους, καλῶν αὐτούς· καὶ μετὰ τὴν συγκρότησιν τῆς Συνόδου ἐκθήσω εἰς μέσον τὰς ἃς χρήσεις ἔχουσιν οἱ Ἀρμένιοι δοκούσας αὐτοῖς βοηθεῖν· παραδείξω δ' εἶτα καὶ ὅσας αὐτὸς παρήγαγές μοι μαρτυρίας Γραφικάς· καὶ πρῶτον μὲν ἔσομαι ἐκ τοῦ μέρους τῶν Ἀρμενίων ἀντιφερόμενος καθ' ἡμῶν, εἶτα δ' ἠρέμα καὶ κατὰ βραχύ, ἐν ὅσῃ προσοχῇ ἄρξομαι ἀποκαλύπτειν τὴν μέχρι τούτου διακρατοῦσαν πλάνην τῶν Ἀρμενίων, καὶ ἐλπίζω ἐπὶ Θεόν, ὅτι τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούσει καὶ ἀκολουθήσει μοι. Καὶ ἐὰν μὴ πάντες οἱ Ἐπίσκοποι συνέλθωσι, μετὰ τῶν ὁμοφρονούντων μοι κυρώσαντες τὸ Δόγμα τῆς ἀληθείας, ἀποστέλλουμεν τῶν Ἐπισκόπων τινὰς φέροντας ἐγγράφως αὐτὸ εἰς τὴν τῶν Πόλεων Βασιλεύουσαν, πρὸς ἕνωσιν ἡμῶν μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας. » Καὶ ταῦτα εἰπὼν ἐξέβαλε πάντας τοὺς ἄλλους, καὶ ὥρκισε μετὰ δακρύων τὸν Θεωριανόν, ἵνα καταπείσῃ τὸν Αὐτοκράτορα, καὶ ὑποχρεώσῃ τὸν Οἰκουμενικὸν Πατριάρχην, ὥστε μετὰ τὴν ἄφιξιν τῶν αὐτοῦ Ἐπισκόπων ἐνδυθῆναι αὐτὸν τὴν Ἀρχιερατικὴν στολήν, ἀναβῆναι εἰς τὸν Ἄμβωνα κρατοῦντα μετὰ χεῖρας Σταυρὸν τῶν τιμίων Ξύλων, καὶ ἐκφωνῆσαι ἐν μέσῳ τῆς Μεγάλης Ἐκκλησίας ἐπ' ἀκροάσει πάντων εὐχὰς ἱλαστηρίους ὑπὲρ σωτηρίας τῶν Ἀρμενίων ζώντων τε καὶ τεθνεώτων, ἵν' οὕτω καταῤῥαγῇ τὸ τῆς ἔχθρας μεσότοιχον, καὶ διαλυθῶσιν αἱ τοσούτων αἰώνων ἀραί. Ἐπὶ τῆς ἀναχωρήσεως τοῦ Θεωριανοῦ ἐνεχείρισεν ὁ Καθολικὸς αὐτῷ δύω Ἐπιστολάς, τὴν μὲν μυστικὴν πρὸς τὸν Αὐτοκράτορα Μανουήλ, ἐν ᾗ ἐξέφραζεν αὐτὸς τὰ τῆς εἰλικρινοῦς αὐτοῦ ἐφέσεως περὶ ἑνώσεως μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἀποδεχόμενος τὴν ἐν Χαλκηδόνι Τετάρτην Οἰκουμενικὴν Σύνοδον, ἐξίσου μετὰ τῶν τριῶν προτέρων Οἰκουμενικῶν, καὶ τὰ ἐν αὐτῇ δογματισθέντα· τὴν δ' ἄλλην δέδωκεν ἀσφράγιστον. Ἐν ταύτῃ δὲ ὁ Νερσῆς ἐπειρᾶτο τοῦ μετριάσαι τὰς ἐν μέσῳ Ῥωμαίων τε καὶ Ἀρμενίων περὶ Δόγματος, ἐθίμων τε καὶ τελετῶν διαφοράς, ὑπερασπιζόμενος φρονήματά τινα καὶ ἔθιμα αὐτῶν, καὶ λέγων, ὅτι αὐτοὺς μέχρις ἐκείνου διήρει μᾶλλον ὁ δισταγμός, ἢ ἡ τῷ ὄντι διαφορά. Ἐν δὲ τῇ περὶ τοῦ περὶ τῶν δύω φύσεων Δόγματος ἐξηγήσει, ἀπέφευγεν ὡρι-

σμένως ἐκφρασθῆναι, πιθανὸν, ἵνα φανῇ καὶ ἐν τῇ ἐπιστολῇ σύμφωνος τῷ ῥηθέντι πρὸς τὸν Θεωριανὸν τρόπῳ, ὃν ἔμελλε μετελθεῖν ἐν τῇ τῶν Ἀρμενίων Συνόδῳ, ὡς ὑπερασπιζόμενος κατ᾽ ἀρχὰς τὸ ἐκείνων φρόνημα καὶ τὰ ἔθη ὑπὸ φόβου ῥαδιουργιῶν· διὰ δὲ τοῦτο καὶ τῇ σιωπῇ παρῆλθε τὸ σαφῶς καὶ καθαρῶς ἐκφρασθῆναι περὶ τῶν δύω φύσεων, καὶ ἐδείκνυεν ἐν τῇ ἐπιστολῇ ὡς ὁμολογῶν μίαν φύσιν, κατὰ τοὺς τοῦ Ἱεροῦ Κυρίλλου λόγους, « μία ἡ φύσις τοῦ Λόγου σεσαρκωμένη », πρὸς ἡσυχίαν τῶν Ἀρμενίων Ἐπισκόπων τῶν τὴν ἀσφράγιστον ταύτην ἐπιστολὴν ἀναγνόντων. Καὶ ὁ μὲν Καθολικὸς ἐπ᾽ ἀγαθῷ σκοπῷ προσεφέρθη οὕτως, ἀλλὰ τὰ μετὰ ταῦτα οὐκ ἐδικαίωσαν τὸν οἰκονομικὸν αὐτὸν, ὃν μετῆλθε τρόπον, διότι ἐν τοῖς περὶ Πίστεως δέον καὶ λέγειν καὶ πράττειν ὀρθῶς ἄνευ διπλόης.

Ἐπανελθόντος τοῦ Θεωριανοῦ εἰς Βυζάντιον, οὐδόλως ἐπίστευον τὸν Καθολικὸν εἰλικρινῶς κλίνοντα εἰς τὴν τῶν ἱερῶν Δογμάτων ὀρθότητα, ὑποπτευόμενοι, ὅτι ἐν μόνοις τοῖς λόγοις δεικνύει ὅτι συνεφώνει. Ἀλλ᾽ ὁ Αὐτοκράτωρ θέλων ἵνα δικαιώσῃ τὸν ἄνδρα ἐνώπιον τοῦ Κλήρου, ἀνεκάλυψε τὴν εἰλικρινῆ καὶ ἀληθῆ τοῦ Νερσῆ ἔφεσιν, παῤῥησιάσας πρὸς τὸν Πατριάρχην καὶ τὴν Σύνοδον τὴν ἣν πρὸς αὐτὸν ἔγραψε μυστικὴν ἐπιστολήν· διὸ καὶ ἄνευ ἀναβολῆς ὅ τε Αὐτοκράτωρ καὶ ὁ Πατριάρχης ἔγραψαν ἀποκρινόμενοι εἰς τὰς δύο ῥηθείσας ἐπιστολὰς τοῦ Καθολικοῦ. Καὶ ἐν μὲν τῇ μυστικῇ ὑπερεπῄνουν τὸν περὶ τὰ ὀρθόδοξα δόγματα ἐνάληθον ζῆλον αὐτοῦ, ἐν δὲ τῇ ἄλλῃ κοινῇ καὶ ἀσφραγίστῳ ἀποκρινόμενοι ἠξίουν αὐτὸν, ἵνα ἐκκλίνῃ ἀποφεύγων, ἐπὶ ἑρμηνείας τῶν δογμάτων τῆς Πίστεως, τὰ ἀόριστα ἔτι καὶ ἀναποφάσιστα. Ὁ δὲ Πατριάχης ἰδιαιτέρως ἔγραψεν, ὅτι καίτοι ἡ τοῦ Νερσῆ περὶ Πίστεως ἔκθεσις πλήρης φρονήσεως καὶ οὐκ ἀλλοτρία ταύτης, ἀλλ᾽ ἐκφράσεις τινὲς ἐν αὐτῇ σκανδάλου πρόξενοι καθίστανται τοῖς ἀναγινώσκουσι, καὶ ὅτι εὐχῆς ἔργον, ἵνα λείψωσιν αἱ ἐπαμφοτερίζουσαι ἐκφράσεις, καὶ τρανῶς ὁμολογηθῶσιν αἱ ἀληθεῖς καὶ ἀπαράλλακτοι τῆς ἐν Χαλκηδόνι Τετάρτης Συνόδου· ἐφ᾽ οἷς ἐζητήθη ῥητῶς παρὰ τῶν Ἀρμενίων: ἀνάθεμα κατὰ τοῦ Εὐτυχοῦς, Σεβήρου, Τιμοθέου, Αἰλούρου καὶ τῶν ὀπαδῶν αὐτῶν: ἡ ἐν ἀποφάσει ὁμολογία τῶν δύω φύσεων ἐν τῷ ἑνὶ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ: ἡ παραδοχὴ τῆς Τετάρτης Οἰκουμενικῆς Συνόδου ἐν ἴσῃ τάξει μετὰ τῶν λοιπῶν ἁγίων Οἰκουμενικῶν: ἡ ἀποβολὴ ἀπὸ τοῦ Τρισαγίου ὕμνου τῆς ἀτάκτου προσθήκης « ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς »: ἡ τῆς Μυσταγωγίας ἐκτέλεσις δι᾽ ἐνζύμου ἄρτου: ἡ μίξις ἐν τῷ Ποτηρίῳ ὕδατος ἐν τῷ οἴνῳ: ἡ χρῆσις ἐν τῷ Μύρῳ ἐλαίου: ἡ τῶν Ἀκολουθιῶν ἐκτέλεσις ἐντὸς τοῦ Ναοῦ καὶ ἐπὶ

παρουσίᾳ τοῦ λαοῦ: καὶ τὸ ἑορτάζειν τὴν Γέννησιν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου (1).

Ἀναπεισθεὶς παρὰ τοῦ Αὐτοκράτορος ὁ Θεωριανὸς ἐπανέκαμψε δευτέρως πρὸς τὸν Καθολικὸν τῷ 1172 ἔτει· ἀλλὰ τῶν Ἐπισκόπων οὔπω ἔτι συνελθόντων, κατὰ τὴν γενομένην πρόσκλησιν, ὁ Νερσῆς ἔκρινεν, ἵνα μετὰ τῶν περὶ αὐτὸν Ἐπισκόπων ἄρξηται τῆς συνδιαλέξεως, καὶ κατὰ τὸ ῥηθὲν τῆς συνθήκης σχέδιον ἤρξατο ὑπερασπίζεσθαι πρῶτον τὴν μίαν ἐπὶ Χριστοῦ φύσιν κατὰ τὴν αὐτῶν δοξασίαν. Ὁ δὲ Θεωριανὸς αὖθις ἰσχυροῖς λόγοις ἀνέτρεψε τὴν τοιαύτην τῶν Ἀρμενίων διδασκαλίαν, καὶ ἑκάτερα τὰ μέρη μετ' ἰσχυρογνώμονος ἐνστάσεως διεμάχοντο προστατεύοντα τὴν αὐτῶν γνώμην· ἀλλ' ἐπειδὴ ὁ Νερσῆς ἀπροσέκτως ἐφέρετο, οὐκ ἔλαθε τοῖς Ἀρμενίοις ἡ ἐνδόμυχος αὐτοῦ διάνοια· καὶ γὰρ πρὸ τῆς συνελεύσεως καὶ συνδιαλέξεως λόγος ἦν διαδεδομένος, ὅτι ὁ Καθολικὸς σύμφωνός ἐστι, καὶ συγκατατίθεται ἐπὶ τὸ μεταβῆναι εἰς τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν, καὶ ὅτι περὶ τούτου ἔγραψε τῷ Αὐτοκράτορι. Ἐν δὲ τούτῳ, καὶ ὁ συνοδοιπόρος τοῦ Θεωριανοῦ Μοναχὸς Ἀρμένος Ἰωάννης ἔσφαλε τὰ μέγιστα, ὡς ἀναμνήσας ἐν μέσῳ τῆς τῶν Ἐπισκόπων συνελεύσεως πρὸς τὸν Καθολικὸν τὸ πρὸς τὸν Αὐτοκράτορα αὐτοῦ γράμμα, καὶ εἰπὼν, ὅτι αὐτοὶ πρὸς αὐτὸν παρεγένοντο οὐχὶ δι' ἀμφισβητήσεις καὶ ἔριδας, ἀλλὰ δι' ὁριστικὴν τοῦ πράγματος ἀπόφασιν.

Τότε δὴ καὶ οἱ οὕτω δυσηρεστημένοι Ἐπίσκοποι ἐπανέστησαν παῤῥησίᾳ κατὰ τοῦ Καθολικοῦ αὐτῶν, ὁ δὲ ὑπὸ τῆς σφοδρᾶς προσβολῆς συνεταράχθη ὅλως καὶ ἐξηλλοιώθη· ὅθεν καὶ ἡ περὶ τῶν δύω φύσεων διαφωνία ἀνεβλήθη μέχρι τῆς πληρεστέρας Συνόδου, καὶ ἤρξαντο ὁμιλεῖν περὶ τῶν μὴ τοσοῦτον σπουδαίων, οἷον περὶ τῆς διαφορᾶς τῶν Ἑορτῶν, περὶ τῆς ὕλης τοῦ Μύρου, καὶ περὶ τοῦ ὅτι οἱ Ἀρμένιοι ἐν τῇ Μυσταγωγίᾳ οὐ μιγνύουσι τῷ οἴνῳ ὕδωρ. Ὁ δὲ Νερσῆς ὑπεδείκνυεν ὡς ὑπερασπιζόμενος τὸ τοιοῦτον παρ' αὐτοῖς ἔθος, στηριζόμενος ἐπὶ τοὺς οὓς προείπομεν λόγους τοῦ θείου Χρυσοστόμου, τοῦ κατὰ τῆς αἱρέσεως τῶν ὑδροπαραστατῶν λεχθέντας. Ἐναπέδειξε δ' αὖθις ὁ Θεωριανὸς τῆς τοιαύτης παρεξηγήσεως τὸ

(1) Καιρὸς, ἵνα συναισθανθῶσιν οἱ τοῦ Κλήρου τῶν Ἀρμενίων προέχοντες, ὅτι ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τελοῦντες τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Γέννησιν καὶ τὴν Βάπτισιν, καὶ διαχωριζόμενοι τοιουτοτρόπως ἀπὸ τῶν λοιπῶν πάντων Ἀνατολικῶν τε καὶ Δυτικῶν Χριστιανῶν, ἀδικοῦσιν αὐτοὶ ἑαυτοὺς καὶ ὅλον τὸ Γένος αὐτῶν, μέμψιν ὑπομένοντες αἱρέσεως, ἣν παρὰ τῶν κακοφρόνων Σύρων διὰ τὰς μετ' αὐτῶν ποτε σχέσεις αὐτῶν παρέλαβον, καθώσπερ καὶ τὴν ἐν τῷ Τρισαγίῳ ὕμνῳ προσθήκην, παρὰ τοῦ τῆς τοῦ Εὐτυχοῦς κακοδόξου φάλαγγος Σημειοφόρου, Θεοστυγοῦς Πέτρου τοῦ Κναφέως.

σφάλμα, ἐπαναγαγὼν εἰς μαρτυρίαν τὴν τοῦ Ἀδελφοθέου Ἰακώβου ἀρχαιοτάτην Λειτουργίαν, ἐν ᾗ διαῤῥήδην διδάσκεται ἡ μιγνύουσα ὕδωρ τῷ οἴνῳ παράδοσις. (1)

Ἡ σύνδιάλεξις αὕτη οὐδὲν ἀποτέλεσμα ἔφερεν· ὁ δὲ Νέρσης μὴ παραιτούμενος τοῦ ἀγαθοῦ αὐτοῦ σκοποῦ, μετὰ τῶν περὶ αὐτὸν Ἐπισκόπων, ἔγραψεν αὖθις πρός τε τὸν Αὐτοκράτορα καὶ τὸν Πατριάρχην παρακαλῶν, ὅπως ἐν τῇ διαφορᾷ τῶν παρ' Ἀρμενίοις ἐθίμων φανῶσι συγκαταβατικώτεροι, ὡς μὴ συνιστώντων τούτων τὴν πραγματιώδη ὕπαρξιν τῆς Πίστεως· ἰδίως δὲ ἔγραψε τῷ Πατριάρχῃ Μιχαὴλ ἀξιῶν, ἵνα ἀναπεμφθῶσιν ἐν ταῖς Ἐκκλησίαις ἱκεσίαι πρὸς Θεὸν περὶ εἰρήνης τῶν Ἐκκλησιῶν, καὶ ὅτι μὴ θέλων αὐτὸς ἀναλαβεῖν τὴν τοσούτων ἐπανορθώσεων εὐθύνην, προσεκαλέσατο πάντας τοὺς καθ' ὅλην τὴν Ἀρμενίαν Ἐπισκόπους πρὸς συγκρότησιν πληρεστάτης Συνόδου.

Ἀλλὰ κρίμασιν, οἷς οἶδε Θεός, οὐ συνεχωρήθη Νερσῇ αὐτῷ τῷ Χαρίεντι ἰδεῖν, κατὰ τὸν διάπυρον αὐτοῦ πόθον, τὴν τῶν Ἀρμενίων μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας συνένωσιν, ὑπὲρ ἧς ἠγωνίσθη τοσοῦτον, τελευτήσαντι τῷ 1173 ἔτει, ἑβδομηκοστὸν πέμπτον ἔτος ἄγοντι τῆς ζωῆς αὐτοῦ. Ἡ τοῦ θανάτου τούτου εἴδησις σφόδρα κατελύπησε μὲν τὸν Αὐτοκράτορα, ἀλλὰ τὰς ἐλπίδας αὐτοῦ οὐκ ἐνάρκωσε. Πρὸς δὲ αἰσίαν ἀποπεράτωσιν τοῦ οὗ ἤρξατο θεοφιλοῦς ἔργου, ἔγραψε πρὸς τὸν διαδεξάμενον τὸν τοῦ Καθολικοῦ Θρόνον, ἀνεψιὸν τοῦ τελευτήσαντος, Γρηγόριον Δ', συλλυπούμενος ἐπὶ τῇ ᾗ ὑπέστησαν στερήσει τοιούτου Ποιμένος πάντες οἱ Ἀρμένιοι, καὶ ἰδίᾳ ὁ Γρηγόριος τηλικούτου Θείου, καὶ παρορμῶν ἐπὶ τὸ μὴ ἐλαττῶσαι καὐτὸν τὴν αὐτοῦ προθυμίαν πρὸς ἐπίτευξιν τῆς κατ' ἔφεσιν εἰρήνης.

Συνῆλθον τέως, μετὰ τοσαύτην ἀναβολὴν ἐτῶν πέντε, ἕνεκα τῶν διατρεχόντων τότε κατὰ Κιλικίαν ἐμφυλίων κακῶν ὑπὲρ διαδοχῆς τῆς μικρᾶς ἐκεῖσε ὑστάτης τῶν Ἀρμενίων δυναστείας, διὰ τῆς ἐνθέρμου φροντίδος τοῦ Καθολικοῦ Γρηγορίου, οἵ τε Ἐπίσκοποι καὶ οἱ

(1) Οἱ τὴν θείαν ταύτην τοῦ ὕδατος ἐν τῷ Ποτηρίῳ ἀποβάλλοντες Ἀρμένιοι παράδοσιν, φόβον ἄκριτον προβάλλουσιν, ἵνα μὴ τοῦτο ποιοῦντες τῇ τοῦ Νεστορίου κακοδοξίᾳ ἐμπέσωσιν· ὁ γὰρ δυσσεβὴς οὗτος εἰς δύο ὑποστάσεις, ἤτοι Πρόσωπα, τὸν ἕνα διῄρει Υἱόν· αὐτοὶ δέ, ἀντὶ προσώπου τὸ ὕδωρ ἐν τῷ Ποτηρίῳ ὑπολαμβάνοντες, καὶ ὡς Νεστοριανὸν τοῦτο ἀποβάλλοντες, εἰς τὸ ἀντικείμενον καὶ μεμπτὸν κατηνέχθησαν φρόνημα τῆς μιᾶς φύσεως. Προσεπώθη, ὅτι ἐπὶ τῇ καινοτομίᾳ αὐτῶν καὶ ταύτῃ, τὰ τοῦ θείου Χρυσοστόμου ἐν τῇ κατὰ Ματθαῖον Εὐαγγελίου Ἑρμηνείᾳ προβάλλουσι ῥήματα ταῦτα. « Τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστάς, ἀλλ' οἶνον »; Ἀλλ' ὁ μακάριος Πατὴρ τὴν τῶν ὑδροπαραστατῶν πονηρὰν αἵρεσιν, τὴν ὕδατι μόνῳ χρωμένην ἐν τῇ αὐτῶν θυσίᾳ, βουλόμενος, ὡς ἐῤῥέθη, ἀνασπᾶσαι πρόῤῥιζον, τὸν τοιοῦτον ἐπίτηδες κατεσκεύασε λόγον· ὅστις ἐν τῇ θείᾳ αὐτοῦ Λειτουργίᾳ, ὕδωρ τῷ οἴνῳ μιγνῦναι ἐν τῷ Ποτηρίῳ τῶν μυστηρίων, ἐκπεφασμένως καὐτὸς διετάξατο.

πεπαιδευμένοι τῶν Ἀρμενίων εἰς τὴν πόλιν Ῥοῦμ-καλὲ τῷ 1179 ἔτει. Ἦσαν γοῦν οἱ συνελθόντες Ἐπίσκοποι ἐξ ἁπάσης τῆς Ἀρμενίας τρεῖς πρὸς τοῖς τριάκοντα, καὶ ἄλλοι ἔτι Ἐκκλησιαστικοὶ καὶ λαϊκοί. Ὁ μὲν τῶν Συριάνων Ἀρχιεπίσκοπος ἀπέστειλεν ἀντιπροσώπους, ὁ δὲ τῆς Ἀλβανίας (χώρας πρὸς Ἀνατολὰς κειμένης τῆς Γεωργίας, ὅπου τὸ Δερπὲν,) Ἀρχιεπίσκοπος παρῆν αὐτοπροσώπως. Ἐν τῇ Συνόδῳ ταύτῃ ἀνεζητήθησαν αἱ ῥηθεῖσαι ἐννέα προτάσεις, αἱ διαχωρίζουσαι τὴν τῶν Ἀρμενίων ἀπὸ τῆς Ὀρθοδόξου Ἐκκλησίας, καὶ προβληθεῖσαι πρὸς ἕνωσιν παρὰ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου. Αὗται δὲ, διά τε τὴν ἣν ἐκέκτητο ἐκ πολλῆς ὑπολήψεως ἐπιῤῥοὴν παρ' Ἀρμενίοις ὁ Ἀρχιεπίσκοπος Ταρσοῦ Λαμπρονήνσιος, καὶ διὰ τὴν πειθὼ τῶν αὐτοῦ λόγων, δεκταὶ μετὰ πολλὰ ἐγένοντο. Οὕτω μὲν διατρανοῦσιν ἡμῖν αἱ τῶν ἡμετέρων περὶ τούτου Πράξεις, σύμφωνοι οὖσαι καὶ τῇ πορείᾳ ὅλου τοῦ πράγματος, καὶ τῇ τῶν Ἀρμενίων Καθολικῶν μετά τε τοῦ Αὐτοκράτορος καὶ τοῦ Πατριάρχου ἀνταποκρίσει· ἀλλ' οὐχ οὕτω παριστῶσι τὸ πρᾶγμα αἱ Ἀρμενικαὶ Πράξεις συγγραφεῖσαι, κατὰ τὴν ἰδέαν Ἀρμενίων τινῶν, παρ' ἀγνώστου χειρὸς μετὰ θάνατον τοῦ ῥηθέντος Νερσῆ Λαμπρονήνσίου, ἃς ἡ ἄγνωστος χεὶρ αὕτη αὐτῷ ἀποδίδωσι· περὶ ἧς ἐκθέσεως καὶ τῶν ἀφηγουμένων ἐν αὐτῇ ἑπομένως ἐροῦμεν.

Ὁ Καθολικὸς Γρηγόριος διὰ τοῦ Θεωριανοῦ ἔγραψεν, ὅτι ἡ τοῦ Αὐτοκράτορος καὶ τῆς Συνόδου περὶ τῶν ἐννέα προτάσεων ζήτησις ἀπαντᾷ δυσχερείας, ὡς ἀπομακρυνομένων τινῶν τῆς εἰρήνης, ἕνεκα τῶν ῥιζωθέντων ἐν αὐτοῖς ἐθίμων· καὶ ἐκτὸς τούτου, πολλοί εἰσιν, οὓς ἀδύνατον κρίνειν ὡς ἱερωμένους, διότι ἀνάγκη ἔτι γάλακτι τραφῆναι, ὥσπερ τὰ νήπια· διὰ δὲ τούτους παρεκάλει ὁ Γρηγόριος, ἵνα ἐκ τῶν προβληθέντων τινὰ μετριασθῶσι. Καὶ τοῦτο μὲν ἔχεται ὁμοιαληθείας· ἀλλ' ἐν τῇ ῥηθείσῃ ἐκθέσει τοῦ ἀνωνύμου Ἀρμενίου ἐμφέρεται ἕν τι παράδοξον ὅλως, ὡς δῆθεν καὶ τὰ προβληθέντα ἐννέα, τὰ τοὺς Ἀρμενίους διασχίζοντα τῆς Ὀρθοδοξίας, ἀφέθησαν αὐτοῖς καὶ παρεχωρήθησαν. « Ὁ Καθολικὸς, λέγει ὁ Ἀνώνυμος αὐτὸς, ἐχάρη τὰ μέγιστα ἐπὶ τῇ τοιαύτῃ ἀποκρίσει τοῦ Αὐτοκράτορος καὶ τῆς Συνόδου, (τοῦτο δὲ τὸ τῆς ὑποτιθεμένης ἀποκρίσεως γράμμα, πρὸς δεῖξιν τῆς ἀληθείας, οὐδὲ κατεχώρησεν ἐν τῇ αὐτοῦ ἐκθέσει ὁ Ἀνώνυμος,) διότι ἀντὶ τῶν προβληθέντων ἐννέα Ἄρθρων, περὶ ὧν ὁ λόγος ἦν παρὰ τῷ Καθολικῷ Νερσῇ, ὡς βαρυτάτων ἡμῖν φανέντων, περιωρίσθησαν ἐν τούτῳ μόνῳ, τῷ ζητῆσαι παρ' ἡμῶν πραγματιώδη ὁμοφωνίαν Πίστεως, ἣν, κατὰ τὴν γενομένην ἔρευναν εὗρον Ὀρθόδοξον, καὶ τοῖς Ἁγίοις Πατράσι τὴν πίστιν ἡμῶν σύμφωνον. »

Ἐὰν οὖν τοιαύτη ὑπῆρχεν ἡ γνώμη τῆς Ὀρθοδόξου Ἐκκλησίας περὶ ἀπολύτου συγκαταβάσεως, περιττὴ ἦν ἂν ἡ τοσαύτη περὶ οὐδενὸς μακρὰ διαφιλονεικία, αἵ τε προσκλήσεις πρὸς σύστασιν Συνόδων, καὶ αἱ προτάσεις τῶν Συνθηκῶν πρὸς ἕνωσιν. Ὁ Θεωριανὸς, ὡς ἐκ τῶν προῤῥηθέντων δηλοῦται, παραχωρῶν μὲν τὰ ἧττον σοβαρὰ, μετ' ἐνστάσεως δ' ὅσης ἐζήτει παρ' Ἀρμενίων τὴν τῶν δύω φύσεων ἐπὶ Χριστοῦ ὁμολογίαν, καὶ τὴν ἐπισήμως ἀναγνώρισιν τῆς τετάρτης Οἰκουμενικῆς Ἁγίας Συνόδου· διότι, μετὰ τὴν δι' ἑξακοσίων (τότε) χρόνων διαφωνίαν, ἐπάναγκες ἦν τοὺς ἡμετέρους γενέσθαι ἀτενῶς προσεκτικωτέρους ἐν τοῖς βαδίσμασιν αὐτῶν, καὶ εὐκόλως καὶ ὑποκούφως μὴ εἰπεῖν « διαλαττόμεθα », μηδὲ ἐξηγηθῆναι καὶ δηλῶσαι, τίνος ἕνεκα διὰ τοσούτου μακροῦ χρόνου διεφιλονείκουν περὶ Δογμάτων διαμαχόμενοι, καὶ τίνι τρόπῳ διηλλάγησαν εἰρηνεύσαντες.

Ἀλλ' ἀντὶ τούτου, ἐκ τῶν Ἀρμενικῶν ἐκθέσεων συνάγεται, ὅτι ἐν τῇ Συνόδῳ ταύτῃ τοῦ Ῥοὺμ-καλὲ, μετὰ τὴν γενομένην ἀνάπτυξιν τῶν ἐν τοῖς γράμμασι τοῦ τε Αὐτοκράτορος καὶ τοῦ Πατριάρχου περιεχομένων ῥηθεισῶν προτάσεων, πάντα τὰ ἐν αὐτοῖς ἐνεκρίθησαν ὀρθόφρονα καὶ ὀρθόδοξα ὡς πρὸς τὸ τῆς θείας ἐνανθρωπήσεως Δόγμα, καὶ πάντες οἱ συνελθόντες Ἐπίσκοποι προθύμως ὑπέγραψαν, ἀποδεχόμενοι τὰ ἐν τούτοις ἐκτιθέμενα, καὶ ὑποσχόμενοι τὴν τούτων διατήρησιν ἀμετάβλητον, καὶ οὕτω πέρας ἡ δυσάρεστος ἔρις αὕτη εἴληφε, καὶ ἐκ μέρους τῆς Συνόδου ταύτης ἐγένετο ἡ τῶν γραμμάτων ἀπάντησις τῆς ἄνευ πάσης ἀντιλογίας συμφωνίας, καὶ τῆς ἐκδηλώσεως τῆς περὶ τὴν Πίστιν ὁμολογίας τῶν Ἀρμενίων.

Ἀλλὰ τί ἐκ τούτων προκύπτει; Ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα ἀποκρίσει, παραπέμπονται πρὸ πάντων εἰς τὴν τοῦ τελευτήσαντος Καθολικοῦ Νερσῆ Ἐπιστολὴν πρὸς αὐτὸν τὸν Μανουὴλ, ἐπαριθμοῦντες τὰς τρεῖς πρώτας τῶν Οἰκουμενικῶν Συνόδων, μετ' ἀρῶν κατὰ Ἀρείου, Μακεδονίου, Νεςορίου, καὶ αὐτοῦ ἐπίσης τοῦ Εὐτυχοῦς, καθ' οὗ καὶ συνηθροίσθη ἡ ἐν Χαλκηδόνι Τετάρτη Οἰκουμενικὴ, ἣν τῇ σιωπῇ παρερχόμενοι, οὐδὲ λόγον περὶ ταύτης ἀναφέρουσι, καί τοι ἡ ταύτης ἀναγνώρισις παρ' Ἀρμενίων ῥητῶς ἦν τὸ τῆς εἰρήνης θεμελιῶδες καὶ κύριον. Ἑπομένως ἐν τῇ ἀποκρίσει ἐκτίθεται κατ' ἔκτασιν ἡ τῶν Ἁγίων Πατέρων διδασκαλία περὶ τῆς Θεότητος καὶ ἀνθρωπότητος τοῦ Κυρίου, ἀλλ' ἐν τοιαύταις ἐκφράσεσι μὴ ἀναγομέναις ἀπ' εὐθείας εἰς τὴν τοῦ πράγματος ὀντότητα· ἐν δὲ τῷ αὐτῷ πνεύματι καὶ τὰ τῆς θείας Γραφῆς ῥητὰ παράγονται. « Προσαρμόζοντες (λέγουσιν οἱ τῆς Συνόδου τῶν Ἀρμενίων) πάντα ταῦτα τὰ ἐπιχειρήματα παρατηροῦμεν, ὅτι οἱ Ἅγιοι Πατέρες εἶπον, οὐ

περὶ μιᾶς φύσεως ἐπὶ Χριστοῦ, ἀλλὰ περὶ δύω συνημμένων, τῶν ἐνεργείᾳ καὶ θελήσει ἐκπληρουσῶν ποτὲ μὲν τὰς τῆς Θεότητος, ποτὲ δὲ τὰς τῆς ἀνθρωπότητος πράξεις ἐν ἑνὶ προσώπῳ· διὰ δὲ τοῦτο, καὶ ἔστω ἡμῖν γνωστὸν, ὅτι οὐ διϊστάμεθα ἐκκλίνοντες τῆς τῶν Ἁγίων Πατέρων διδασκαλίας.» Καὶ τοῦτο μὲν Ὀρθόδοξον, ἀλλὰ παρατηρεῖται ἡ ἐν τοῖς ῥηθεῖσι παρέγκλισις, ἐὰν μὴ ἡ τοῦ Δόγματος, ἀλλ' ἡ παρὰ τῆς Ἐκκλησίας καθορισθεῖσα τῶν ἐκφράσεων ἀκρίβεια; καίτοι τὴν ἀπόκρισιν αὐτῶν ταύτην πρὸς τὸν Αὐτοκράτορα οὕτως ἐπισφραγίζουσι· «πιστεύομεν καρδίᾳ μὲν εἰς τὴν ὀρθότητα, χείλεσι δὲ ὁμολογοῦμεν τὴν ἀλήθειαν ἐνώπιον ὅλης τῆς Ὀρθοδόξου Ἐκκλησίας περὶ τῆς τοιαύτης ὁμολογίας πάσης τῆς ἡμῶν Ἐκκλησίας.»

Ἐν δὲ τῇ ἀποκρίσει τῆς Συνόδου ταύτης πρὸς τὸν Πατριάρχην Θεοδόσιον Α΄ τὸν Βοραδιώκτην, τὸν μετὰ θάνατον τοῦ τε Μιχαὴλ Γ΄ τοῦ ἐξ Ἀγχιάλου, καὶ τοῦ μετὰ τοῦτον μόγις ἔτος ἐν Πατριαρχεύσαντος καὶ θανόντος καὐτοῦ Χαρίτωνος, τὸν Θρόνον διαδεξάμενον, αἱ αὐταὶ ἐπίσης ἐμπεριείχοντο περὶ τοῦ κυριωτέρου Δόγματος ἀκαθόριστοι φράσεις, ἔτι δὲ καὶ μακρολογίαι περὶ εἰρήνης καὶ ἀγάπης, καὶ ἔπαινοι πρός τε τὸν Αὐτοκράτορα καὶ πρὸς τὸν θανόντα Πατριάρχην Μιχαὴλ ὑπὲρ τοῦ πρὸς τὴν Ἐκκλησίαν αὐτῶν ζήλου. «Λάβετε τὴν ἡμῶν ἀπόκρισιν, ἔγραφον οἱ τῶν Ἀρμενίων Ἐπίσκοποι, τόσον ὑμεῖς οἱ τῆς Συνόδου, ὅσον καὶ ὁ νεύσει θείᾳ ἐκλεχθεὶς Σὺ ἐπὶ τὸν Οἰκουμενικὸν Θρόνον. Ἐκ τῆς Ὀρθοδόξου ὑμῶν Ἐπιστολῆς καθαρῶς ἐννοήσαμεν, ὅτι οὕτως ἔδοξε τῷ Κυρίῳ καὶ Θεῷ, ἵνα δι' ἡμῶν, ἐπὶ τοῦ ἐνεστῶτος καιροῦ, τὴν γηράσασαν ἐν μέσῳ τῶν Ἐκκλησιῶν ἔχθραν εἰς εἰρήνην μεταβάλῃ· διὸ καὶ παρ' ἡμῶν πάντων ἀποδίδεται ἡ δέουσα τιμὴ πρὸς τὰς θεολογικὰς ὑμῶν ἐναλήθους σκέψεις καὶ κρίσεις, ὡς συμφώνους ταῖς τῶν Ἁγίων Πατέρων παραδόσεσι. Τοιουτοτρόπως γοῦν οἱ ἐκ τῶν διαβολῶν λογισμοὶ ἡμῶν ἐθεραπεύθησαν, καὶ ἀγκάλαις ἀναπεπταμέναις ἀγάπης ἐδέχθημεν τὴν ὑμῶν Ἐπιστολήν. Οἴδαμεν, ὅτι περιττὴ μὲν πᾶσα ἄλλη πλατυτέρα διασάφησις, ἀλλὰ πρὸς βεβαίωσιν τοῦ, ὅτι ἐφιέμεθα δοῦναι τῇ Σοφίᾳ σοφὸν ἐνδόσιμον, ἵνα δι' οὗ κρίνῃ αὐτὴ τὴν περὶ τῆς ὀρθῆς ὁμολογίας συμφωνίαν ἡμῶν καὶ σύμπνοιαν.» Ἀλλ' ἐν τῇ ὁμολογίᾳ αὐτῶν ταύτῃ παρατηρεῖται ὡσαύτως πολυλογία, ἀφορῶσα ἐπὶ τὸ ἐκκλῖναι καὶ ἀποφυγεῖν τὰς περὶ τοῦ Δόγματος ζητηθείσας σαφεστέρας ἀποδείξεις. Σιωπῶντες μὲν οἱ τῆς Συνόδου ταύτης κυριολεκτικῶς ἐκφρασθῆναι περὶ τῆς ἐν τῷ Τρισαγίῳ προσθήκης, ὁμολογοῦσι δὲ, ὅτι διὰ τοῦ Τρισαγίου ὑμνεῖται ἡ Τριὰς ὅλη· οὐδόλως ἀναφέροντες τὴν ἐν Χαλκηδόνι Τετάρτην Σύνοδον, λέγουσιν, ὅτι ὁμολογοῦσι συμφώνως τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ τὴν

ἐπὶ Χριστοῦ ἄῤῥητον συνένωσιν τῶν τε δύω φύσεων καὶ τῶν δύω θελήσεων· περὶ δὲ ἑορτῶν, νηστειῶν, ἀζύμων, καὶ τῆς μὴ κράσεως ἐν τῷ Ποτηρίῳ τῷ οἴνῳ ὕδατος, οὐδὲ λόγον, σιωπῇ ἄκρᾳ τὸν περὶ τούτων παρερχόμενοι. Τέως δὲ οἱ τῆς Συνόδου ἐπισφραγίζουσι τὴν ἑαυτῶν πρὸς τὸν Πατριάρχην καὶ τὴν περὶ αὐτὸν Σύνοδον ἀποκριτικὴν ἐπιστολὴν οὕτως. « Ἐάν τις βουληθῇ εἰπεῖν ὑμῖν ἀνόμοιόν τι καὶ ἀσύμφωνον περὶ τοῦ μυστηρίου τῆς ἡμῶν Πίστεως, τὸν τοιοῦτον ἀποστράφητε ὡς παραβάτην τῆς ἀληθείας· διότι ἡμεῖς μὲν καυχώμεθα ἐν τῇ μαρτυρίᾳ τῆς ἡμῶν συνειδήσεως, ὑμεῖς δὲ τὴν γεγηρακυῖαν ἀπέχθειαν ἐπιστρέψατε πρὸς τὸν ἀρχέκακον ἐχθρὸν καὶ μισάνθρωπον· πρὸς δὲ τοὺς συναδέλφους ὑμῶν στηρίξατε τὴν εἰρήνην καὶ ἀγάπην. Ὁ δὲ Θεὸς τῆς εἰρήνης ταύτης καὶ ἀγάπης εἴη μεθ' ὑμῶν. »

Οἱ ἐν ταύταις ταῖς ἀποκρίσεσιν ὑπογεγραμμένοι τῶν Συνοδικῶν ἀριθμοῦνται τρεῖς πρὸς τοῖς τριάκοντα μετὰ τοῦ Καθολικοῦ Γρηγορίου, καὶ τοῦ τῆς Ἀλβανίας Ἀρχιεπισκόπου Στεφάνου· ἐν ᾗ Συνόδῳ ὁρᾶται, ὅτι παρῆσαν πασῶν τῶν τῆς Ἀρμενίας βασιλευουσῶν ποτε Πόλεων Ἄνι, Τοβὶν, Ἐδέσσης, Κὰρς, τῶν τῆς Κιλικίας, καὶ τῶν περὶ τὴν Καισάρειαν, τουτέστιν, ὅλης τῆς τῶν Ἀρμενίων Ἐκκλησίας οἱ Ἐπίσκοποι. Αὕτη δὲ ἡ πλήρης αὐτῶν ὑστάτη περὶ συνενώσεως Σύνοδος τῷ 1179 ἔτει, καίτοι μὴ ἐντελῶς αὐτοῖς λόγοις ἀπηκριβωμένοις, ἀλλ' εὐδιαθέτῳ πνεύματι, ἐναπέδειξε τὴν πρὸς τὴν Ὀρθοδοξίαν ῥοπὴν αὐτῆς καὶ κλίσιν· τὸ δ' ἀφῃρημένον καὶ μὴ ἀποφαντικὸν ὁριστικῶς τῶν αὐτῆς ἐξηγήσεων, διασαφεῖται παρὰ τῶν ῥηθέντων ὑπὸ τοῦ Καθολικοῦ Γρηγορίου λόγων· « ἕνεκα τῶν βαθέως ῥιζωθεισῶν συνηθειῶν, πολλοὶ ἀποστρέφονται τὴν ἀποκατάστασιν τῆς εἰρήνης, οὓς δέον μετελθεῖν ὡς παῖδας ». Δεῖ οὖν χάριν εἰδέναι καὶ τῇ ἀπὸ τοῦ Ἀρμενικοῦ μεταφράσει τῶν πράξεων τούτων, διότι διὰ ταύτης πολλαὶ ἀμφιβολίαι ἀνεπτύχθησαν, διελύθησαν καὶ συντελοῦσι πρὸς ἀμοιβαίαν σύναψιν τῶν διεστώτων. Εὐχῆς δ' ἔργον, ὅπως ἡ τῶν πραχθέντων τούτων ἔκθεσις γένοιτο μᾶλλον καὶ μᾶλλον γνωστὴ καὶ ἔκδηλος τοῖς τε Ὀρθοδόξοις καὶ τοῖς Ἀρμενίοις, ὡς καρποὺς ἀγαθοὺς, εἰ δοίη Θεὸς, δυναμένη φέρειν.

Ὡς δ' ἐν ἐπιθήκης μοίρᾳ ἐπισφραγίζοντες τὴν γενομένην κατὰ καιροὺς διαπραγμάτευσιν περὶ συμφωνίας καὶ ἑνώσεως μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς τῶν Ἀρμενίων, καὶ μάλιστα τὴν ἐν τῇ Ῥοὺμ-καλὲ Συνόδῳ, ὑποτιθέμεθα τὰ τοῦ πολλάκις μνησθέντος Ἀρχιεπισκόπου τῆς Ταρσοῦ Νερσῆ τοῦ Λαμπρονησίου ἐπὶ ταύτης τῆς Συνόδου ἐκφωνηθέντα, ὡς ἐκθέσαντα τὰ ἐκ τῆς διαιρέσεως ὀλέθρια ἀποτελέσματα, καὶ διεγείραντα τότε τοὺς τῆς Συνόδου πάντας εἰς

εἰρήνην τῆς Ἐκκλησίας· ὅθεν καὶ ἡ προσλαλιὰ αὐτοῦ αὕτη κρίνεται ἀσπαστὴ παρὰ πᾶσι τοῖς ἐν πνεύματι εἰρήνης καὶ ἀγάπης ταύτην διερχομένοις. «Ἐὰν ἀπαθῶς τὸ πρᾶγμα παρατηρήσωμεν (λέγει ὁ Νερσῆς), οὐδεμίαν αἰτίαν ἔχομεν τοῦ διαφιλονεικεῖν. Ὁ Χριστός ἐστι Θεάνθρωπος, ταὐτόν ἐστι καὶ εἰπεῖν δύω φύσεις ἐπὶ Χριστοῦ· ἀλλὰ διὰ τί μέχρι τούτου τοιουτοτρόπως οὐ διεσάφησαν; διὰ τί ἡμῖν εἶπον πᾶν τὸ ἐναντίον; Θεῷ δὲ μόνῳ ἀνήκει ἡ περὶ τούτου κρίσις. Ἀλλ' ὅμως πολλοὶ ἐκ τῶν ἡμετέρων οὕτως ὀρθῶς, κατὰ τὸ τῶν Ἁγίων Πατέρων παράδειγμα, ὡμολόγησαν. Τίνος ἕνεκα ἡμεῖς ἐνταῦθα ἐπελαθόμεθα καὶ οὐδὲ ἐμνήσθημεν ἀπροσέκτως τῶν λόγων τοῦ Καθολικοῦ Ἰωάννου καὶ Φιλοσόφου, τοῦ κατὰ τὴν μαρτυρίαν τῶν Πατέρων ἐκπεφασμένως ἐπικυροῦντος τὸ ὀρθὸν τῆς ὁμολογίας τῆς Πίστεως; Τίνος ἕνεκα παρείδομεν τὸ μετὰ τῆς διδασκαλίας ταύτης σύμφωνον τοῦ Καθολικοῦ Ἔσδρα, καὶ τῆς τούτου ἐν Θεοδοσιουπόλει Συνόδου; Ἔτι δὲ, διὰ τί ἐσιωπήσαμεν καὶ τὴν μετὰ τῆς Μεγάλης Ὀρθοδόξου Ἐκκλησίας συμφωνίαν τοῦ Καθολικοῦ Βαγὰν καὶ τῶν ἀρχόντων Ἀρμενίων καὶ διδασκάλων, τῶν πρὸς τὸ ὀρθόφρον τούτου τοῦ Καθολικοῦ ταχθέντων μέρος, ὧν ἐκ τοῦ ἀριθμοῦ τῶν διδασκάλων τούτων καὶ πεπαιδευμένων εἷς ἦν ὁ θεῖος καὶ ἐν μέσῳ πολλῶν διαφέρων, ἄγγελος ἐν μορφῇ ἀνθρώπου, Γρηγόριος ὁ Ναριεκήνσιος; (1) Διὰ τί τέως οὐδὲ τὴν τυχοῦσαν ὑπόμνησιν ἐποιησάμεθα τῶν γενομένων διακοινώσεων μετὰ τῆς Κωνσταντινουπόλεως περὶ συναθροίσεως τῆς προκειμένης ταύτης ἤδη Συνόδου τοῦ ἁγίου Πατρὸς ἡμῶν Καθολικοῦ Νερσῆ, ὃν αὐτοῖς ὀφθαλμοῖς ἴδετε, καὶ γνήσιοι ὑμεῖς αὐτοῦ μαθηταί ἐστε, οἰκοδομηθέντες ἐπὶ τῷ ᾧ αὐτὸς κατέβαλε θεμελίῳ; Πάντες οἱ ῥηθέντες ἄνδρες ἠγωνίζοντο πρὸς συμπλήρωσιν τοῦ ἐνεστῶτος σχεδίου, ὅπερ ὀφείλετε, ἵνα κατὰ σκοπὸν εἰς ἔκβασιν ἀγαγόντες, χαροποιήσητε τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.»

«Ἐγένοντο μὲν πρὸς τὸ μέρος ἡμῶν κλίνοντες καὶ ἄλλοι πολλοὶ Πατέρες καὶ ἀρχηγοὶ τοῦ ἡμετέρου Γένους, ἀποχρώντως ὄντες αὐτοὶ γνωστοὶ τοῖς πεπαιδευμένοις ἐκ τῶν αὐτῶν Συγγραμμάτων· ἀλλὰ συγχρόνως ἐγένοντο καὶ τοιοῦτοι, οἵτινες πρὸς ἡμᾶς διεμάχοντο· οἶδα γὰρ αὐτοὺς, ἐννοῶ τὴν τῶν λόγων αὐτῶν δύναμιν, οὓς

(1) Ὁ ἐνάρετος οὗτος ἀνὴρ ἤνθει κατὰ τὸν δέκατον αἰῶνα, Ἡγούμενος χρηματίσας τῆς κατ' Ἀρμενίαν Μονῆς Ναριεκήνσης, ἐξ ἧς καὶ Ναριεκήνσιος ἐπωνομάσθη. Ἐπίσημος αὐτὸς παρ' Ἀρμενίοις ἐγένετο ἐπ' εὐσεβείᾳ, ἀρετῇ καὶ παιδείᾳ· ὑπέμεινε πολλὰ παρὰ τῶν ὁμογενῶν αὐτοῦ καὶ ἐναντίων τῆς Τετάρτης Οἰκουμενικῆς Συνόδου, ὡς προσκείμενος ὅλως εἰς τὰ ἱερὰ ταύτης Δόγματα, καὶ καταδιωκόμενος, φυγὰς λάθρα ᾤχετο τῆς πόλεως Ἀνι (Ἄνιον), καὶ ἐκ θαύματος ἐρρύσθη τοῦ κινδύνου.

καίτοι δυνάμενος ὀνομάσαι καὶ σοφοὺς καὶ ἁγίους, οὐ δύναμαι ὅμως συγκατατεθῆναι, ὅτι αὐτοὶ ὀπαδοὶ ἐγένοντο τοῦ τῆς ἀγάπης νόμου. Κατὰ τὰς φαντασιώδεις ἀπατηλὰς αὐτῶν ἰδέας, οὐδὲ ἐλογίζοντο παράβασιν τὴν διάῤῥηξιν τῆς ἑνότητος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἔνθεν τοι καὶ τῇ αὐτῶν πεισμονῇ ἥμαρτον χαλεπώτατα· ὁ δὲ Θεὸς συγχωρήσαι εἴθε αὐτοῖς, ταῖς εὐχαῖς ὑμῶν, τὰ βαρύτατα ταῦτα ἁμαρτήματα ἐκ παραφροσύνης, καὶ μὴ μνησθείη αὐτῶν τὴν ἁμαρτίαν, διότι αὐτοὶ τὸ τῆς διαιρέσεως κακὸν ἐπὶ πλέον προσηύξησαν καὶ ἐκραταίωσαν ».

« Ἀρδευομένη ἡ Ἑλλὰς τῇ τοῦ Παύλου διδασκαλίᾳ, ἤκμασε κληθεῖσα τῆς Σοφίας μήτηρ· ἃς δ' ἔχομεν ἁγίας Γραφὰς ἐξ αὐτῶν καὶ τῶν Πατέρων αὐτῶν εἰς ἡμᾶς περιῆλθον. Χριστὸς ὁ Θεὸς τὴν αὐτῶν Βασιλείαν στύλον στηρίγματος ἔθετο τῆς τῶν Χριστιανῶν Πίστεως· ἀλλ' εἰ καὶ τὸ αὐτῶν κράτος ὡς πρόσκαιρον ἐξησθένησε, τὸ τοῦ Χριστοῦ δ' ὅμως διαμένει ἀπαρασάλευτον. Αὐτοὶ αὐστηρῶς καὶ ἀμεταβλήτως διαφυλάττουσι τὴν τῶν πνευματικῶν διατυπώσεων ἀξίαν· καὶ ἐάν ποτε ἐξ οἰκονομίας τινὰ παραχωρῶσιν, ἀλλὰ τὰ εἰς δόξαν Θεοῦ πρέποντα. Ἡμεῖς δ' ἐξ ἐναντίας, ὡς δῆλον ἐκ τῆς ἱστορίας, ἔσχομέν ποτε κατὰ δυστυχίαν ἀβούλους τινὰς καὶ ἀπερισκέπτους ἡγουμένους. Δεξώμεθα οὖν ἐκ τῶν προτιθεμένων Κεφαλαίων, ἅπερ δυνάμεθα· δεξώμεθα δὲ ταῦτα ἐν ἀγάπῃ, ὡς ἄλλας διαθήκας τῶν ἡμῶν προγενεστέρων, καὶ οὐχὶ ὡς προσφερομένας ἡμῖν παρ' ἀλλοτρίων· δεξώμεθα τοιγαροῦν ταύτας πρὸς δόξαν Θεοῦ μεθ' ὅσης προθυμίας καὶ πρᾳότητος ἀσμένως ».

Πρὸς δὲ ταῖς ἄλλαις προτροπαῖς περὶ ἑνώσεως, ὑποβάλλει τέως ὑπ' ὄψιν ὁ Νερσῆς καὶ τὴν τῆς πατρίδος αὐτοῦ ἀθλίαν κατάστασιν. « Μνήσθητε, λέγει, ὅτι ἡ ἡμετέρα Ἐκκλησία διασαλευομένη καὶ διακλονουμένη ἐξέχεται ἀπὸ λεπτοῦ μίτου· ἐπὶ δὲ τοιαύτης ἐλεεινότητος, ἀνάγκη πᾶσα, ὅπως ἐπικαλεσθῶμεν τὴν τοῦ Κόσμου Βασιλεύουσαν πρὸς βοήθειαν. Πιστεύσατε, ὅτι ἐπὶ τῆς παρούσης πλήρους ταραχῆς ἐξ ἀμηχανίας ἡμῶν θέσεως, ληψόμεθα πάντως ἐκ τῶν Αὐτοκρατορικῶν οἰκτιρμῶν παραμυθίαν, καὶ οὕτως ὁ ἀλήτης καὶ κυματούμενος αὐτὸς ἡμῶν βίος εὑρήσει ἐκ τῆς ζάλης τέως ἠρεμίαν ἐν σωτηρίῳ λιμένι. »

Μετὰ δὲ τὸν θάνατον τοῦ Αὐτοκράτορος Μανουὴλ, τοῦ μὴ ἰδεῖν φθάσαντος τὴν κατὰ τὸν ἔνθερμον αὐτοῦ πόθον πρὸς ἕνωσιν τῶν δύω Ἐκκλησιῶν ἀπάντησιν τῆς ἐν Ῥοὺμ-καλὲ Συνόδου, ἥ τε τεταραγμένη Βασιλεία τοῦ ἀνηλίκου αὐτοῦ υἱοῦ, καὶ ἡ ἔφοδος ἑπομένως τῆς ἐκπορθήσεως τῆς Κωνσταντινουπόλεως παρὰ τῶν ὡς ἄλλων Βανδάλων, δι' ὅσα ἔπραξαν, Σταυροφόρων, ἐφ' οἷς τὰ κατὰ Κιλι-

κίαν ἐμφύλια τότε κακὰ τῶν ἐκ τῆς τετάρτης τῶν Ἀρμενίων δυναστείας, τῆς τῶν Ῥουπενίων καλουμένης, βασιλευόντων ἐκεῖσε, καὶ τελευταῖον ἡ ἀποβίωσις τῶν δύω ἐσχάτων διαπύρων καὶ λόγοις καὶ πράξεσιν, ὑπὲρ ἑνώσεως τῶν διεστώτων, συνεργῶν τοῦ τε Ἀρχιεπισκόπου Ταρσοῦ Νερσῆ τοῦ Λαμπρονηνσίου, καὶ τοῦ Καθολικοῦ Γρηγορίου τοῦ Δ', ἐνέκρωσαν τὰ ἐκ τῶν περιστάσεων ἀλλεπάλληλα ταῦτα πᾶσαν ἐλπίδα τῆς ἐπὶ τοσοῦτον σπουδαζομένης ἑνώσεως. Σβεσθέντων γοῦν τῶν τῆς Ἀρμενικῆς Ἐκκλησίας δύω ἐσχάτων μνησθέντων φώτων, ἀποχωρισθέντος τοῦ Ἔθνους τούτου ὅλως τῶν Ὀρθοδόξων Ἐκκλησιῶν, καὶ περιορισθέντος ἐν μόνῃ τῇ αὐτοῦ ἀτομικότητι, ἡ μόνωσις αὕτη ἔβλαψεν αὐτὸ, διότι τόνον πολὺν παρέσχετο αὕτη ταῖς προκαταλήψεσιν ὀργίλων τινῶν καὶ ἐμπαθῶν, τῶν ἀντὶ εἰρήνης καὶ ἀγάπης ἀκονησάντων τὰς γλώσσας αὐτῶν εἰς ὕβρεις, καὶ ὧν τὸ κυριώτερον ἐπιχείρημα ἦν, ὅτι ἡ ἀλλότριος αὕτη Ἐκκλησία, ἐπὶ τῷ τῆς ἑνώσεως προσχήματι, χαλκεύει, ὅπως ἀφαρπάσῃ τὸ τῆς Ἐκκλησίας αὐτῶν ἀνεξάρτητον, καὶ καταστρέψῃ τούς τε νόμους καὶ τὰ θεμελιώδη ταύτης ἔθιμα.

Τοῦτο δὲ αὐτὸ ἐγένετο καὶ μετὰ τῆς Δυτικῆς Ἐκκλησίας. Οἱ τῶν Ἀρμενίων Βασιλεῖς κατὰ Κιλικίαν, διά τε συμμαχιῶν, ὡς ἐρρέθη, γαμικῶν συναλλαγμάτων, καὶ τῶν ἐντεῦθεν στενῶν αὐτῶν σχέσεων μετά τε τῶν ἐν Ἀντιοχείᾳ καὶ τῶν ἐν Κύπρῳ βασιλέων Λατίνων, ὑπαγόμενοι παρ' αὐτῶν, σπουδῇ πολλῇ ἔσπευσαν πρὸς συνένωσιν τῆς αὐτῶν Ἐκκλησίας μετὰ τῆς Δυτικῆς. Καὶ δὴ συνήθροισαν, ληγούσης τῆς ΙΒ' ἑκατονταετηρίδος καὶ ἐπ' αὐτῆς τῆς ΙΓ', ἐν ταῖς πόλεσι τῆς τε Σὶς καὶ τῆς Ταρσοῦ διαφόρους ἕνεκα τούτου Συνόδους· ἀλλ' ὁ τῶν Ἀρμενίων Κλῆρος, καίτοι γε πολλὰ προτραπεὶς καὶ βιασθεὶς, τὴν μετὰ Ῥωμαίων ἕνωσιν οὔτε προσήκατο, οὔτε προσέσθαι ἠξίωσε τὸ σύνολον. Ἀλλ' ἄπορον, πῶς ὁ στοιχῶν οὗτος Κλῆρος τοῖς ἀπὸ τοῦ θείου τῆς Ἀρμενίας Γρηγορίου καὶ τῶν ἐφεξῆς ἐθίμοις καὶ τάξεσι τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας, ἐπιθελχθεὶς ἐνέδωκε καὶ ἐνεστερνίσατο τὰς τῆς Ῥώμης ἐθιμοταξίας, στολὰς καὶ ἄλλα. Καὶ δὴ πρῶτον, Ἱερεῖς καὶ Διακόνους, ἐναντίον τῶν Ἱερῶν Κανόνων, χειροτονοῦσιν ἐν μιᾷ καὶ τῇ αὐτῇ Λειτουργίᾳ, κατὰ τὸ ὃ παρέλαβον τῆς Ῥώμης ἔθος. Παρέλαβον ἔτι καὶ τὰς ἃς φέρουσιν ἐπὶ κεφαλῆς, ἐπὶ τῶν τελετῶν, Καθολικοί τε καὶ Ἐπίσκοποι ἐπίσης, πιννοειδεῖς Λατινικὰς μίτρας εἰς ὀξὺ ληγούσας, παραχωρήσαντες τὸ ἀρχαῖον στρογγύλον εἶδος τῶν μιτρῶν εἴς τε τοὺς Ἱερεῖς καὶ εἰς αὐτοὺς ἔτι τοὺς Διακόνους αὐτῶν. Πρώτην δὲ τοιούτου εἴδους Λατινικὴν εἰς δύω διασχιζομένην πιννοειδῆ μίτραν ὁ Πάπας Λούκιος ὁ Γ', διὰ τὰς κοινωνικὰς στενὰς σχέσεις τῶν Ἀρμενίων με-

τὰ τῶν Σταυροφόρων, ὡς ἐῤῥέθη, ἀπέστειλε δῶρον τῷ 1182 ἔτει πρὸς τὸν τότε Καθολικὸν Παρσὲγ ἢ Βασίλειον, ἣν μίτραν, ἐπιθελχθεὶς διὰ τὸ κωνοειδὲς τοῦ σχήματος, ἀσμένως ἐδέχθη· καὶ ἔκτοτε παρὰ τοῖς προϊσταμένοις τοῦ Κλήρου τῶν Ἀρμενίων παρεισήχθη καὶ αὕτη ἡ καινοτόμος Λατινικὴ χρῆσις, καθώσπερ καὶ τὸν ὃν φέρουσι, κατ' ἔθος Παπικὸν, δακτύλιον Καθολικοί τε καὶ λοιποὶ τῶν Ἀρμενίων Ἐπίσκοποι, ὡς ἄλλην ἐπιτερπῆ αὐτοῖς διαδοχικὴν κληρονομίαν. Οὕτως οὖν ἡ Ἀρμενικὴ Ἐκκλησία θέλουσα ἵνα ἐμμένῃ ἐν τῇ αὐτῆς ἀτομικότητι, παρήλλαξε καὶ τὴν ἱερατικὴν αὐτῆς ἀρχαίαν στολὴν (ἐκτὸς τοῦ Ὠμοφορίου·) τὸ γὰρ Φελώνιον αὐτῶν μεταποιηθὲν, προσελάβετο καὐτὸ τὸ τοῦ Λατινικοῦ σχήματος εἶδος (pluvial), ἐγκολαπτόμενον ἐπὶ τοῦ στήθους διὰ πόρπης, ὃ καὶ φέρουσιν ἀνεξαιρέτως καὶ οἱ Καθολικοὶ καὶ πάντες οἱ Ἐπίσκοποι ἱερουργοῦντες, κατὰ μίμησιν Παπικήν· διότι τοῖς Ἀρμενίοις οὐκ ἦν γνωστὸν τὸ μετὰ ταῦτα ἔθος τοῦ Ἱεραρχικοῦ Σάκκου, ᾧ κατ' ἀρχὰς ἐχρῶντο μόνοι οἱ τῆς Κωνσταντινουπόλεως Πατριάρχαι.

Μετὰ τὴν καταστροφὴν καὶ τῆς ὑστάτης Βασιλείας κατὰ Κιλικίαν τῶν Ἀρμενίων ὑπὸ τῶν Μαμλούκων τῆς Αἰγύπτου, καὶ τῆς μεταθέσεως τῆς τῶν Καθολικῶν Καθέδρας ἐπὶ τοῦ Καθολικοῦ Γρηγορίου τοῦ Θ', ἀπὸ τῆς κατὰ Κιλικίαν Πόλεως Σὶς, αὖθις εἰς Ἐδσχμιαδζὶν ἀρχαίας ἕδρας ἀπὸ τοῦ Ἱεροῦ Γρηγορίου τῶν Καθολικῶν, τῷ 1441 ἔτει, ἡ Παπικὴ σπουδὴ οὐκ ἐξέλιπε πειρωμένη τοῦ τῶν Καθολικῶν καὶ τῶν Ἀρμενίων φρονήματος διὰ τῶν αὐτῆς Μισσιοναρίων καὶ κατ' αὐτὸν ἔτι τὸν ΙΖ' αἰῶνα, καθ' ὃν πρὸς τὸν τότε Καθολικὸν Ἰάκωβον Δ' ὁ Πάπας Ἰννοκέντιος ὁ ΙΑ' ἀπέστειλε δῶρον, τῷ 1678 ἔτει, μίαν πλουσίαν Καθέδραν ἐκ ξύλου τιμωμένου, γλαφυρῶς τετορνευμένην, ἐν ᾗ καὶ μέχρι ταύτης ἐν τῷ Ναῷ τοῦ Ἐδσχμιαδζὶν, τοῦ Μονογενοῦς, ἵστανται οἱ Καθολικοὶ ἐπὶ τῆς Λειτουργίας.

Τελευταῖον δὲ, ἔργον ποιοῦντες Εὐαγγελιστοῦ, ἐξεθέμεθα ἐν εἰρηνικῇ καὶ πραείᾳ διαθέσει ψυχῆς εὐσεβοῦς πάντα ταῦτα τὰ τὴν τῶν Ἀρμενίων Ἐκκλησίαν ἀπὸ τῆς Ὀρθοδόξου Μητρὸς αὐτῆς λυπηρῶς διαχωρίζοντα, οἰκτείροντες τὴν μακρὰν αὐτῆς διάστασιν, καὶ λέγοντες, ὅτι ἐν τοιαύτῃ μετεώρῳ, ἀμφιβόλῳ καὶ ἀναποφασίστῳ γνώμῃ ἡ Ἐκκλησία αὕτη μέχρι τούτου ταλαντεύεται, ὡς ἐπὶ πλάστιγγος ἀῤῥεπὴς μένουσα καὶ ἀπέχουσα, καίτοι αἰσθανομένη τὴν πρὸς ἡμᾶς αὐτῆς ἐγγύτητα. Ἐκ στόματος γὰρ τῶν αὐτῆς μελῶν πολλάκις ἐξερεύγεται καὶ ἀβουλήτως ἡ ἐπίγνωσις, ὅτι μία καὶ ἡ αὐτὴ αὐτῶν Πίστις μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἀλλ' ἐκλείπει αὐτοῖς ἡ στήριξις ἡγεμονικοῦ, κατὰ τὸν Δαβὶδ, πνεύματος, ὅπως ἀποφαντικῶς εἴπωσιν. « *Ἀποδεχόμεθα καὶ συντασσόμεθα.* » Ὁ δὲ

τῆς Πίστεως ἀρχηγὸς καὶ τελειωτὴς Ἰησοῦς Χριστὸς καὶ Κύριος ἡμῶν, ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, εἴθε τὴν κατ' εὐχὴν καὶ πόθον διαλλαγὴν καὶ ἕνωσιν, πρὸς δόξαν τοῦ ἁγίου αὐτοῦ ὀνόματος, καταρτίσειε. Γένοιτο!

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΝΤΙΟΧΕΙᾼ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ ΜΕΧΡΙ ΤΗΣ ΣΗΜΕΡΟΝ. (1)

1. *Πέτρος* ὁ Ἀπόστολος τὴν τῆς Ἀντιοχείας Ἐπισκοπὴν ἐν ἔτεσιν ὀκτὼ πρῶτος διετήρησεν. Εἶτα καταλιπὼν διάδοχον ταύτης τὸν Εὐόδιον, ἀπῆλθεν εἰς τὴν ἄνω Ἀσίαν πρὸς τοὺς ἐν τῇ διασπορᾷ Ἰουδαίους, ἵνα διαδώσῃ αὐτοῖς τὸ κήρυγμα. Καὶ ἐπειδὴ ἡ Ἀντιόχεια ἐδέξατο τὸν Κορυφαῖον Ἐπίσκοπον πρῶτον, ἄρα αὐτὴ μᾶλλον ἔξει τὸ Πρωτεῖον, ὡς πρὸ τῆς Ῥώμης ἐν αὐτῇ τοῦ Πέτρου ἐπισκοπήσαντος.

2. *Εὐόδιος*, καθ' ὃν χρόνον, (τὸ 53, τὸ Σωτήριον) τοῖς ἐξ Ἑβραίων πιστεύσασιν Ἐπίσκοπος Ἀντιοχείας ὑπὸ Πέτρου προεχειρίσθη ἐπὶ Κλαυδίου Καίσαρος, ὅτε χριστιανοὶ ἐν Ἀντιοχείᾳ πρῶτον μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζωραῖοι καὶ Γαλιλαῖοι. Οὗτος ἐφ' ὅλοις δέκα πρὸς τοῖς πέντε ἔτεσιν ἐπισκοπήσας, τέως τῷ Σωτηρίῳ 68 ἔτει μαρτυρικῷ τῷ στέφει κεκόσμηται.

3. *Ἰγνάτιος* ὁ Θεοφόρος αὐτὸν διεδέξατο, Ἐπίσκοπος προχειρισθεὶς τοῖς ἐξ Ἐθνῶν πιστεύσασι. Ποιμάνας δὲ τὴν τῆς Ἀντιοχείας Ἐκκλησίαν ἔτη δύω πρὸς τοῖς τριάκοντα, ἐπὶ Τραϊανοῦ θηριομαχῆσαι κελευσθεὶς, εἰς Ῥώμην στέλλεται δέσμιος. Παροδικῶς δὲ διὰ τῆς Σμύρνης ἀπαγόμενος, ἔγραψε διαφόρους ἐπιστολὰς (ὧν αἱ ἑπτὰ γνήσιαι), στηρίζων τοὺς πιστοὺς εἰς εὐσέβειαν. Εὑρισκόμενος τοίνυν ἐν Ῥώμῃ καὶ τοῦ βρυγμοῦ τῶν λεόντων ἀκούσας, πόθῳ τοῦ παθεῖν φλεγόμενος, ἔφη, « σῖτος Ἰησοῦ Χριστοῦ εἰμι, καὶ εὔχομαι τοῖς ὀδοῦσι τῶν θηρίων ἀλεσθῆναι, ἵν ἄρτος καθαρὸς εὑρεθῶ. » Καὶ οὕτω βορὰ τῶν λεόντων γενόμενος, τὸ μακάριον τέλος ἐδέξατο. Μετά τινων μηνῶν χηρείαν, ἀνάγεται

(1) Μέχρι Μεθοδίου Προκατόχου τοῦ ἤδη Πατριαρχεύοντος Ἱεροθέου. Σημ. Ἐκδότ.

4. *Ἥρως* εἰς τὸν Ἀποστολικὸν τοῦτον Θρόνον. Ἰθύνας δὲ τὴν Ἐκκλησίαν ἔτη ἓξ πρὸς τοῖς εἴκοσι μετέστη πρὸς Κύριον, καὶ διαδέχεται αὐτὸν

5. *Κορνήλιος*, τῷ 127 ἔτει. Διήρκεσε δὲ ἐπισκοπεύων ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι. Μεθ' ὃν τοὺς οἴακας δέχεται

6. *Ἥρως* ὁ Β', τῷ 151 ἔτει. Ἀποθανόντα δὲ μετὰ χρόνους δέκα πρὸς τοῖς ὀκτὼ τῆς Ἀρχιερατείας αὐτοῦ, διεδέξατο αὐτὸν

7. *Θεόφιλος*, τῷ 169 ἔτει. Οὗτος κατήγετο ἐξ Ἑβραίων· διὰ δὲ τῆς προσεχοῦς ἀναγνώσεως τῶν θείων Γραφῶν γνωρίσας τὴν ἀλήθειαν ἐγένετο χριστιανός. Ἦν δὲ παιδείας καὶ λόγων Ἑλληνικῶν οὐκ ἄσημος, ὡς ἐκ τῶν τριῶν αὐτοῦ Βιβλίων πρὸς Αὐτόλυκόν τινα πεπαιδευμένον καὶ ἐραστὴν τῆς ἀληθείας Ἐθνικὸν δείκνυται. Διϊθύνας δὲ τὴν τῆς Ἀντιοχείας Ἐκκλησίαν ἔτη εἴκοσιν ὁσίως, μεθίσταται τῶν τῇ δε, καὶ διαδέχεται αὐτὸν

8. *Μαξιμιανὸς* ἢ *Μαξιμῖνος*, τῷ 188 ἔτει. Μετὰ δὲ ἔτη τέσσαρα θνήσκει, καὶ ἀνάγεται

9. *Σεραπίων*, τῷ 192 ἔτει. Καὶ τοῦτον ἐπισκοπήσαντα ἔτη εἴκοσι καὶ θανόντα, διαδέχεται

10. *Ἀσκληπιάδης*, τῷ 212 ἔτει. Μετὰ ὀκτὼ χρόνους τελευτᾷ καὶ ἀνάγεται

11. *Φιλητὸς*, τῷ 220 ἔτει. Ἀρχιερατεύσας χρόνους 12 θνήσκει καὶ προχειρίζεται

12. *Ζεβῖνος* ἢ *Ζηνόβιος*, τῷ 232 ἔτει, καὶ μετὰ ὀκτὼ ἔτη τελευτήσαντος, ἤρθη εἰς τὸν Θρόνον

13. *Βαβύλας* ὁ Ἱερομάρτυς, τῷ 240 ἔτει, ὅστις μετὰ πρὸς τοῖς τρισὶ δέκα χρόνους τῆς Ἀρχιερατείας αὐτοῦ, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐπὶ Νουμεριανοῦ Αὐτοκράτορος τῷ θείῳ τοῦ μαρτυρίου ἐστέφθη στεφάνῳ, καὶ διαδέχεται τὸν Ἀθλητὴν

14. *Φάβιος*, τῷ 253 ἔτει. Ἐπισκοπεύσας χρόνους τρεῖς, θνήσκει διὰ μαρτυρικοῦ θανάτου καὶ ἀνάγεται

15. *Δημητριανὸς*, τῷ 256 ἔτει. Καὶ τούτου μετὰ ἑπτὰ χρόνους τελευτήσαντος, προβιβάζεται

16. *Ἀμφιλόχιος*, ἢ κατ' ἄλλους, Μακάριος, τῷ 262 ἔτει. Ἐκμετρήσαντος καὶ τούτου τὸ ζῆν μετὰ χρόνους τέσσαρας, ἐπιπηδᾷ τοῦ Θρόνου

17. *Παῦλος* ὁ Σαμωσατεὺς καὶ αἱρετικὸς, τῷ 267 ἔτει. Ὁ ἐπάρατος οὗτος μίαν ὑπόστασιν, ἤτοι πρόσωπον, ἐν τῇ Θεότητι εἶναι ἔλεγε, καὶ ἕτερον ἔφασκε πεφυκέναι τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ἕτερον τὸν Χριστόν. Ὅθεν καὶ δύω φύσεις ἀπ' ἀλλήλων διῃρημένας καὶ ὅλως ἀκοινωνήτους ἀλλήλαις ἐν τῷ Χριστῷ ὡμολόγει. Ὑπὸ δὲ τῆς

συγκροτηθείσης ἐπ᾽ αὐτῷ τούτῳ ἐν Ἀντιοχείᾳ Συνόδου ἐλεγχθεὶς καὶ καταγνωσθεὶς ὡς βλάσφημος, ἀποκηρύττεται καὶ τῆς ἐπισκοπῆς ἀποβάλλεται, τυραννήσας ἔτη ὀκτώ. Οἱ δὲ τὴν αἵρεσιν τούτου διαδεξάμενοι, Παυλιανοὶ καὶ Σαμωσατεῖοι ἐκλήθησαν. Τῆς δὲ ῥηθείσης Συνόδου οἱ Πατέρες μετὰ τὴν ἔκπτωσιν τοῦ Παύλου, προεχειρίσαντο

18. *Δόμνον*, τῷ 270 ἔτει, ἅπασι τοῖς πρέπουσιν Ἐπισκόπῳ καλοῖς κεκοσμημένον. Τούτου δὲ μετὰ τρεῖς χρόνους πρὸς Κύριον ἐκδημήσαντος, τὴν λειτουργίαν τοῦ Θρόνου παραλαμβάνει

19. *Τίμαιος*, τῷ 273 ἔτει, καὶ μετὰ ἔτη τέσσαρα θανόντος, διάδοχος τούτου γίνεται

20. *Κύριλλος*, τῷ 277 ἔτει. Ἐπισκοπήσας δὲ ἔτη εἴκοσι δύο, μεταλλάττει τὸν βίον, καὶ εἰσάγεται εἰς τὸ τῆς Ἐπισκοπῆς λειτούργημα

21. *Τυραννίων*, τῷ 299 ἔτει· ὅστις διϊθύνας τὴν τῶν Ἀντιοχέων Ἐκκλησίαν χρόνους ἐννέα, τὸν διὰ μαρτυρίου τέως στέφανον ἤρατο. Προὐκεχείριστο δὲ

22. *Βιτάλιος*, τῷ 308 ἔτει· οὗ ἓξ ἔτεσι προστάντος, διάδοχος γέγονε

23. *Φιλογόνιος*, τῷ 314 ἔτει. Καὶ τούτου ἔννατον διανύσαντος ἔτος, προέστη, κατὰ μὲν τὸν Εὐσέβιον

24. *Παυλῖνος*, τῷ 324 ἔτει, ὁ Τύρου Ἐπίσκοπος, κατὰ δὲ τὸν Σωζόμενον, Ῥωμανός. Ἐξ ὧν, εἴτε ὁ εἷς, εἴτε ὁ ἄλλος ἐπισκοπήσας περὶ τοὺς ὀκτὼ μῆνας, καὶ θανὼν διάδοχον καταλέλοιπεν

25. *Εὐστάθιον* τὸν μέγαν, Βεῤῥοίας (Χαλέπι) τῆς Συρίας ὄντα Ἐπίσκοπον, ὃν ἡ ἐν Νικαίᾳ συγκροτηθεῖσα Οἰκουμενικὴ πρώτη Σύνοδος τῷ 325 ἔτει, ἐκύρωσε κοινῇ τῇ ψήφῳ. Ὅστις ὑπὲρ τῆς ἀληθείας πρόμαχος ὢν κατὰ Ἀρείου, καὶ τῆς εὐσεβείας ἀγωνιστής, ἐν Ἀντιοχείᾳ ὑπὸ τῆς συστάσης ψευδοσυνόδου ὑπὸ Εὐσεβίου τοῦ Νικομηδείας καὶ τῶν συμφρονούντων αὐτῷ Ἐπισκόπων Ἀρειανῶν, ἐπὶ ψευδέσιν ἐγκλήμασι καθαιρεῖται καὶ εἰς Ἰλλυρίαν ὑπερόριος πέμπεται. Γνωσθείσης δὲ τῆς ἐπὶ τῷ ἀδίκῳ ἐγκλήματι αὐτοῦ ἀθωότητος, ἐπανῆλθεν εἰς τὸν οἰκεῖον Θρόνον. Καὶ πάλιν αὖθις ὑπὸ Κωνσταντίου τὸ δεύτερον, καὶ ὑπὸ Οὐάλεντος τὸ τρίτον εἰς ἐξορίαν πέμπεται, καὶ ἐν αὐτῇ τῇ ἐσχάτῃ ὑπερορίᾳ τὸν βίον μεταλλάττει ἐν πόλει τινὶ τῆς Θρᾴκης ὁ τρισόλβιος, ἑπτὰ μὲν χρόνους ἀξιοπρεπῶς καὶ ἐν ἡσυχίᾳ διοικήσας τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας, τοὺς δὲ λοιποὺς μέχρι τοῦ 364 ἔτους, καθ᾽ ὃ καὶ ἀπέθανε, διήνυσεν ἐν καταδρομαῖς καὶ ἐξορίαις. Μετὰ δὲ τὴν ἄδικον καθαίρεσιν τοῦ Εὐσταθίου, προεχειρίσθησαν οἱ ἐφεξῆς λώβην νοσοῦντες τὴν τοῦ Ἀρείου

26. *Παυλῖνος*, ἀπὸ ἔτους 332, τυραννεῖ ἓξ μῆνας καὶ θνήσκει.

27. *Εὐλάλιος*, τῷ αὐτῷ ἔτει. Τυραννεῖ πέντε μῆνας καὶ θνήσκει.

28. *Εὐφρόνιος*, τῷ 333 ἔτει. Τυραννεῖ ἓν ἔτος καί τινας μῆνας καὶ θνήσκει.

29. *Πλακέντιος*, τῷ 334 ἔτει. Τυραννεῖ ἔτη ἑπτὰ καὶ θνήσκει.

30. *Στέφανος*, τῷ 341 ἔτει. Τυραννεῖ ἔτη τέσσαρα καὶ θνήσκει.

31. *Λεόντιος*, τῷ 345 ἔτει. Τυραννεῖ ἔτη πέντε καὶ θνήσκει. Μετὰ δὲ τοῦτον τὸν ἁρπάσαντα τὴν τῆς Ἀντιοχείας Ἐκκλησίας Προεδρίαν (1), ἐπιπηδᾷ εἰς τὸν Θρόνον ἄλλος ἅρπαξ, μετὰ τὸν θεῖον Εὐστάθιον.

32. *Εὐδόξιος*, τῷ 350 ἔτει. Ἀλλ' ἐξελαθέντος, ἡ Ἀντιοχέων Ἐκκλησία ποιμένος ἐστέρητο. Ὅθεν οἱ τοῖς Ἀρείου συμμορίας νομίσαντες ὁμόφρονα αὐτοῖς.

33. *Μελέτιον* τὸν θεσπέσιον, Κωνστάντιον τὸν Αὐτοκράτορα τὴν τῆς Ἀντιοχέων Ἐκκλησίας Προεδρίαν τούτῳ δοῦναι ᾐτήσαντο. Ψηφισθεὶς οὖν, ἀπὸ τῆς ἧς κατεῖχεν Ἐπισκοπῆς τῆς κατὰ Συρίαν Βεῤῥοίας, εἰς τὴν Ἀντιοχέων μετεκλήθη. Ἀρθεὶς δὲ ἐπὶ τὸν Θρόνον τῷ 354 ἔτει, τὸν ἀληθῆ κανόνα τῆς περὶ τῆς Ἁγίας Τριάδος διδασκαλίας καὶ πράξει καὶ λόγῳ τῷ πλήθει παρέδωκε. Τοὺς τρεῖς γοῦν τῆς αὐτοῦ χειρὸς ὑποδείξας δακτύλους, εἶτα τοὺς δύω συναγαγὼν, καὶ τὸν ἕνα καταλιπὼν, τὴν ἀξιέπαινον ἐκείνην ἀφῆκε φωνὴν, «Τρία τὰ νοούμενα, ὡς ἑνὶ δὲ διαλεγόμεθα.» Οἱ δὲ τὰ τοῦ Ἀρείου φρονοῦντες δυσφορήσαντες, ὡς ἀπατηθέντες, τῷ Κωνσταντίῳ διαβάλλουσι τὸν ἄνδρα ὡς Σαβελλίζοντα, καὶ εἰς τὴν οἰκείαν αὐτοῦ Πατρίδα Μελιτηνὴν ἐξοστρακίζεται, καὶ παραυτίκα τὸν ὁμόφρονα αὐτῶν ἀντεισάγουσιν

34. *Εὐδόξιον* καὶ συνήγορον, τῷ 354 ἔτει. Τούτου δὲ ἐξωσθέντος, ὡς κόλακος Συβαριτικοῦ καὶ πανούργου, καὶ ὑπερορίου γενομένου, εἰσάγεται ἄλλος κάπρος πρὸς λύμην τοῦ ἀμπελῶνος Χριστοῦ παρὰ τῶν Ἀρειανῶν

35. *Ἀννίας* ἢ *Ἀμμιανὸς*, τῷ 357 ἔτει. Ἐκμετρήσαντος δὲ τὸ ζῆν, ἐπιπηδᾷ τοῦ Θρόνου ἕτερος Ἀρειανὸς

36. *Εὐζώϊος*, τῷ 360 ἔτει. Ἀλλὰ τῷ 362 ἔτει, Ἰουλιανοῦ τοῦ Παραβάτου ἀνακλητικὴν ἄδειαν χορηγησαμένου τοῖς ὑπὸ Κωνσταντίου ὑπερορίοις Ἐπισκόποις ἐπανελθεῖν εἰς τὰς οἰκείας αὐτῶν παροικίας, ἐπίτηδες ἐπὶ τούτῳ, ἵνα τοὺς ὀρθοδόξους Ἐπισκόπους τοῖς Ἀρειανοῖς διὰ διαμάχης λογοτριβῶν πρὸς ἀλλήλους συγκρούσῃ,

---

(1) Ἐπὶ τούτου ἀναλαμβάνει τὸν Θρόνον αὖθις ὁ ἱερὸς Εὐστάθιος, ἀλλ' ἐν ὀλίγῳ καὶ πάλιν ὑπὸ τῶν Ἀρειανῶν ἐξορίζεται.

καὶ οὕτως ἐν τοιούτοις διαπληκτισμοῖς τὴν εἰδωλολατρείαν προάξῃ, ἐπανακάμπτει καὶ ὁ Ἱερὸς Μελέτιος εἰς Ἀντιόχειαν, καὶ εὑρίσκει τοὺς πιστοὺς διχῇ διῃρημένους. Οἱ γὰρ Εὐσταθιανοὶ, Εὐσταθίου τοῦ πανευφήμου χάριν, ἐξ ἀρχῆς τῶν ἄλλων διαχωρισθέντες, καθ' ἑαυτοὺς συνηθροίζοντο· ὁμοίως καὶ οἱ τῷ Ἱερῷ Μελετίῳ προσκείμενοι ἀπὸ τῆς Ἀρειανικῆς συμμορίας χωριζόμενοι, τὰς θείας ἀπετέλουν λειτουργίας ἰδιαιτέρως. Καὶ ἦν μὲν ἡ τῶν εὐσεβῶν μία ἡ περὶ τὴν Πίστιν ὁμολογία, μόνη δὲ ἡ πρὸς τοὺς Ἀρχηγοὺς αὐτῶν διάθεσις αὐτοὺς διεχώριζεν. Ἐν δὲ τούτῳ ἀποβιώσαντος τοῦ Εὐζωΐου, ἄλλος Ἀρειανὸς ἀντικαθίσταται

37. *Δωρόθεος*, τῷ 370 ἔτει. Πρὸ δὲ τούτου, ἡ ἐν Ἀλεξανδρείᾳ ὑπὸ τοῦ Μεγάλου Ἀθανασίου (μετὰ τὴν ἐπανάκαμψιν εἰς τὸν οἰκεῖον αὐτοῦ Θρόνον ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου) συστᾶσα Σύνοδος, τὰς Ἐκκλησίας, ὡς οἷόν τε, εἰς μίαν συναγαγεῖν συμφωνίαν ἐγνωμοδότησε. Καὶ δὴ ἔδοξε τὸν τῆς ἐν Σαρδηνίᾳ Μητροπόλεως πεπαιδευμένον ἄνδρα, καὶ τῆς ἐν Νικαίᾳ Πίστεως ὑπερασπιστὴν, Λουκίφερον ἐκεῖνον τὸν Καλλάριον, ἐπὶ τὴν Συρίας Ἀντιόχειαν παραγενέσθαι. Καταλαβὼν τοίνυν τὴν Ἀντιόχειαν, καὶ ἰδὼν τὴν ῥηθεῖσαν διχῇ διαίρεσιν τῶν Ὀρθοδόξων, πρὸς παῦσιν τοῦ σχίσματος, τὸν τῆς Εὐσταθίου τοῦ θείου μερίδος προεξάρχοντα Πρεσβύτερον

38. *Παυλῖνον*, Ἐπίσκοπον τῶν ὀρθοδόξων κεχειροτόνηκε τῷ 371 ἔτει· ἀλλ' ἀπεπλανήθη τοῦ σκοποῦ, καὶ τὴν διάστασιν τῶν Εὐσεβῶν μακροτέραν εἰργάσατο. Ἐπὶ δὲ Οὐάλεντος καὶ τρίτον τοῦ Θρόνου ὁ Ἱερὸς Μελέτιος ἀπελαύνεται, καὶ ὑπερορίαν εἰς Σεβάστειαν καταχρίνεται. Γρατιανοῦ δὲ ἄρξαντος, ἐπανέρχεται καὶ αὖθις ὁ Μελέτιος εἰς Ἀντιόχειαν τῷ 373 ἔτει, καὶ εὑρίσκει τὴν ἐν Ἀντιοχείᾳ Ἐκκλησίαν τηνικαῦτα τριχῇ διῃρημένην. Καὶ τῶν μὲν Ἐκκλησιῶν, μετὰ τὸν Εὐζώϊον, Δωρόθεος ὁ Ἀρειανὸς ἐκράτει, τῶν δὲ ὀρθοδόξων οἱ μὲν ὑπὸ Παυλίνῳ, οἱ δὲ ὑπὸ Μελετίῳ ἐτάττοντο. Κατὰ δὲ τὸ 380 ἔτος, κατὰ τὸν ὃν ἐξέθεντο νόμον ὅ,τε Γρατιανὸς καὶ μέγας Θεοδόσιος κατὰ Αἱρετικῶν, ὁ πρὸς ἐκπλήρωσιν τούτου καθ' ὅλην τὴν Ἀνατολὴν σταλεὶς στρατηγὸς Σαπώρης, ἐλθὼν εἰς Ἀντιόχειαν, τὸν μὲν μετὰ θάνατον τοῦ Ἀρειανοῦ Δωροθέου, ὑπὸ Ἀπολλιναρίου τοῦ Λαοδικείας χειροτονηθέντα Ἀντιοχείας Ἐπίσκοπον

39. *Βιτάλιον*, τῷ 376 ἔτει, ἀπεδίωξεν ὡς κακόδοξον· τοὺς δὲ δύω διῃρημένους μετὰ τῶν Ὀρθοδόξων Μελέτιον καὶ Παυλῖνον, πρὸς παῦσιν τοῦ σχίσματος, ἠγωνίσθη συνάψαι πρὸς ἕνωσιν καὶ σύμπνοιαν. Ἀλλὰ βλέπων τὸν μὲν Παυλῖνον ἀντιταττόμενον, τὸν δὲ ἱερὸν Μελέτιον ἀμάχως ἡσυχάζοντα, τοῦτον κυρώσας εἰς τὴν Ἐπισκοπὴν ἀνεχώρησε. Τῷ δὲ 381 ἔτει, ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ

Συνόδῳ παρῆν μετὰ τῶν λοιπῶν καὶ ὁ θεῖος Μελέτιος. Ἐπὶ δὲ ταύτης ἀσθενήσας ὁ Μελέτιος ἐν Κωνσταντινουπόλει, τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο τῷ 381 ἔτει, ἰθύνας ἐκ διαλειμμάτων (διὰ τοὺς οὓς ὑπέστη διωγμοὺς) τὴν τῶν Ἀντιοχέων Ἐκκλησίαν ἐφ' ὅλοις ἔτεσιν εἴκοσι πρὸς τοῖς ἑπτά. Ἐν δὲ τῇ Συνόδῳ ταύτῃ ὑπερισχυσάσης τῆς ψήφου τῶν πλειόνων, καίτοι ἀντιλέγοντος τοῦ Ἱεροῦ Γρηγορίου μετ' ἄλλων συνετωτέρων, καὶ κρινόντων τὸν Παυλῖνον Ἐπίσκοπον Ἀντιοχείας μόνον γνωρίζεσθαι, Ἐπίσκοπον Ἀντιοχείας ἐχειροτόνησαν

40. *Φλαβιανὸν* τὸν πρεσβύτερον τῷ αὐτῷ ἔτει. Ἐπανελθὼν δὲ ὁ Παυλῖνος ἀπὸ Ῥώμης, εἰς ἣν πρὸ δύο ἐτῶν ἀπῆλθε τῷ 384 ἔτει, θνήσκει ἐν Ἀντιοχείᾳ τῷ 389 ἔτει. Πρὸ δὲ τῆς τελευτῆς αὐτοῦ μὴ θελήσας ἀναγνωρίσαι τὸν Φλαβιανὸν, χειροτονεῖ Ἀντιοχείας ἰδίᾳ μόνῃ γνώμῃ αὐτοῦ Εὐάγριόν τινα, οὗ μετὰ δύω ἔτη ἀποθανόντος, Πατριαρχεύει μόνος ὁ Φλαβιανὸς ἔτη εἴκοσι πρὸς τοῖς δυσὶ, διαπρέψας ἀξιοπρεπῶς ἐν τούτῳ, ὅτι τὸν Αὐτοκράτορα Θεοδόσιον, παραγενόμενος εἰς Βυζάντιον καὶ καθικετεύσας, ἐξιλεώσατο τὴν τούτου ὀργὴν κατὰ τῶν Ἀντιοχέων, τῶν ὑπ' ἀβουλίας κατεαξάντων τὸν Ἀνδριάντα τῆς τελευτησάσης συζύγου αὐτοῦ εὐσεβοῦς καὶ φιλοπτώχου Πλακίλλης, ὅτε καὶ Ἰωάννης ὁ Χρυσόστομος, Πρεσβύτερος ὢν Ἀντιοχείας, τοὺς περὶ τούτου θαυμαστοὺς λόγους ἐξέθετο « Ἀνδριάντας » ἐπιγράψας. Καὶ μετὰ θάνατον τοῦ Φλαβιανοῦ ἀνάγεται εἰς τὸν Πατριαρχικὸν θρόνον

41. *Πορφύριος*, τῷ 404 ἔτει. Ὃς, κατὰ τὸν Θεοδώρητον (Λόγ. Ε'. κεφ. ΛΕ'.) πολλὰ μνημεῖα φιλανθρωπίας κατέλιπεν. Ἐπιβιώσας δὲ ἔτη τέσσαρα ἐν τῷ θρόνῳ τελευτᾷ, καὶ προχειρίζεται

42. *Ἀλέξανδρος* ὁ θεῖος, τῷ 408 ἔτει· ὅστις σύμφωνον εἶχε τῇ Ἀρχιερωσύνῃ τὴν πολιτείαν· καὶ πρὸς τῇ ἀσκήσει, καὶ φιλοσοφίᾳ, καὶ τῷ ἀκτήμονι βίῳ, καὶ τῇ εὐροίᾳ τοῦ λόγου, καὶ ἄλλοις ὧν κεκοσμημένος χαρίσμασιν, ἴσχυσε τὸ πολυτάραχον διὰ πολλῶν χρόνων σχίσμα τῶν Εὐσταθιανῶν καὶ Μελετιανῶν καταπαῦσαι, καὶ τῷ λοιπῷ συναρμόσαι διὰ συμπνοίας τῆς Ἐκκλησίας σώματι. Πρῶτος οὗτος τὴν Ἰωάννου τοῦ Χρυσοῤῥήμονος προσηγορίαν, μετὰ τὴν μακαρίαν τελευτὴν τοῦ θείου ἀνδρὸς, τοῖς Ἐκκλησιαστικοῖς ἐνέταξε Διπτύχοις. Διαπρέψας δὲ ἐν τῷ θρόνῳ ἔτη δέκα, εἰς τὴν οὐράνιον μεταβαίνει Πατρίδα, καὶ ἀνάγεται

43. *Θεόδοτος*, τῷ 418 ἔτει, ἐπωνυμούμενος τῆς Σωφροσύνης ὁ μαργαρίτης. Οὗτος τῷ ἐναρέτῳ αὐτοῦ πολιτεύματι καὶ ταῖς διδαχαῖς ἐπέστρεψεν εἰς τὸ εὐσεβὲς ὀρθὸν δόγμα τοὺς ὀπαδοὺς πάντας τοῦ Ἀπολλιναρίου. Θεοφιλῶς δὲ ποιμάνας τὴν Ἐκκλησίαν ἔτη ἐννέα, μετέβη εἰς τὴν ἀγήρω ζωὴν, καὶ προχειρίζεται

44. *Ἰωάννης*, τῷ 427 ἔτει. Ἐπὶ τούτου συνεκροτήθη ἡ ἐν Ἐφέσῳ Οἰκουμενικὴ τρίτη Σύνοδος κατὰ Νεστορίου, τῷ 431 ἔτει, τοῦ βλασφήμου, ἧς ἦρχον ὁ θεῖος Κύριλλος Ἀλεξανδρείας, ὃς καὶ τὸν τόπον Κελεστίνου Πάπα Ῥώμης ἐπεῖχε, καὶ Ἰουβενάλιος Ἱεροσολύμων. Οὗτος δὲ ὁ Ἰωάννης Ἀντιοχείας διὰ τὸ βραδῦναι, παρεγένετο εἰς Ἔφεσον μετὰ τὴν Νεστορίου καθαίρεσιν, καὶ λυπηθεὶς ὅτι χωρὶς αὐτοῦ καθῃρέθη, διέστη μετὰ τῶν σὺν αὐτῷ Ἐπισκόπων ἀπὸ τοῦ Ἱεροῦ Κυρίλλου καὶ τῶν ἄλλων τῆς Συνόδου. Ἀλλὰ σπουδῇ τοῦ βασιλέως Θεοδοσίου τοῦ Μικροῦ, ἡνώθησαν ἅπαντες συμφωνήσαντες τῇ ἐκτεθείσῃ Ὀρθοδόξῳ πίστει καὶ τῇ κατὰ τοῦ βλασφήμου Νεστορίου καθαιρέσει. Διὸ καὶ ἐξωρίσθη ὁ θεοστυγὴς κελεύσματι Αὐτοκρατορικῷ εἰς τὴν κατ᾽ Αἴγυπτον Ὄασιν, ἐν ᾗ καὶ κατέλαβεν αὐτὸν ἡ θεία δίκη. (1) Διήρκεσεν ὁ Ἰωάννης πηδαλιουχῶν τὰ τῆς Ἐκκλησίας ἐπ᾽ ἔτεσι δέκα πρὸς τοῖς πέντε, τελευτᾷ καὶ διαδέχεται τὸν θρόνον

45. *Δόμνος* ὁ Β΄, τῷ 443 ἔτει ἀδελφιδοῦς ὢν τοῦ Ἰωάννου. Ἦν

---

(1) Μετὰ δὲ τὴν τῆς ζωῆς τοῦ Νεστορίου καταστροφὴν, διεδόθη ἡ λύμη τῆς ἀσεβείας του παρὰ τῶν ὀπαδῶν αὐτοῦ εἰς Μεσοποταμίαν, Περσίαν, καὶ ἐφηπλώθη καὶ ἕως εἰς αὐτὰς τὰς ἐσχατιὰς τῆς Ἀσίας μέχρι Σινῶν τῷ 636 ἔτει, καθ᾽ ὃν χρόνον ἀπὸ τῆς κατὰ Περσίαν Ἐπαρχίας Χορασὰν, τῆς πάλαι Σογδιανῆς, ἀπεστάλησαν παρὰ τοῦ τότε ἀνιέρου τῆς δυσσεβοῦς αἱρέσεως, καὶ Ἐθνάρχου Ἰεσουϊὰβ κήρυκες ταύτης εἰς Σίναν (Κίναν), καὶ ὅπου ἑπομένως ἐστάλησαν αὖθις ἀπ᾽ αὐτῆς τῆς Χορασὰν, καὶ παρὰ τοῦ Ἀρχιανιέρου τῷ τότε Ἀνανζενοῦ τῷ 781 ἔτει, καὶ χωρεπίσκοπός τις Ἰεζδβουζὶτ, κήρυξ καὶ αὐτὸς τῆς κακοδοξίας, ὡς τοῦτο ἐγένετο δῆλον, ἀπὸ τῆς κατὰ τὸ 1625 ἔτος εὑρεθείσης παρὰ τῶν Ἰησουϊτῶν γεγλυμμένης ἐπὶ μιᾶς πέτρας Σινιστὶ ἐπιγραφῆς, κατὰ τὴν Ἐπαρχίαν τῆς Αὐτοκρατορίας ἐκείνης Χενσὶ, πλησίον τῆς Σι-Γὰν-Φοῦ.

Ἡ κακίστη αὕτη φυτεία δὲν ἐρριζώθη εἰς Σίναν (ὅπου οὐδὲν κόμμα χριστιανικὸν εἶναι ἀνεκτὸν μέχρι τῆς σήμερον [α], μήτε ἐκαρποφόρησεν, ἀλλ᾽ ὀλίγον κατ᾽ ὀλίγον διὰ τῆς ἀναμίξεως μετὰ τῆς τῶν Σινῶν εἰδωλολατρείας διαφθαρεῖσα, ἐγένετο ἀφανὴς διόλου.

Ἡ κακόνοια αὕτη ὑπάρχει μέχρι τοῦδε, καὶ ὁ τόπος, ὅπου ἐμφωλεύουσι Νεστοριανοὶ περισσότεροι εἶναι ἡ πρὸς Μεσημβρίαν Ἀρμενία, κατὰ τὰς Ἐπαρχίας ἐκείνας τὰς ἐξουσιαζομένας παρὰ τῶν ἀνεξαρτήτων Ἡγεμόνων Κούρτιδων λεγομένων τὴν σήμερον, Γορδιαίων ἢ Καρδούχων καλουμένων παρὰ τῶν παλαιῶν. Οἱ Νεστοριανοὶ αὐτοὶ διοικοῦνται ἀριστοκρατικῶς δι᾽ ἰδίων δημογερόντων, τῶν καὶ ἀστυνόμων· ὁ δὲ τούτων Ἀρχιανίερος Καθέδραν ἔχει πλησίον τῆς Δζουλαμὲρκ, κειμένης ἐν μέσῳ τῶν ὀρέων τῶν Κούρτιδων αὐτῶν· εὑρίσκονται προσέτι ἐκ τούτων καὶ εἰς τὴν Μεσοποταμίαν κατὰ τοὺς Κύκλους τοῦ Κουρδιστὰν, τοῦ κειμένου πρὸς Νότον τῆς Ἀρμενίας, ἐκεῖθεν τοῦ Τίγρεως.

[α] Ὁ Αὐτοκράτωρ τῆς Σίνης (Κίνας) πρὸς μόνους τοὺς Ἀνατολικοὺς Ὀρθοδόξους Ῥώσσους Ἱερεῖς, τοὺς παρὰ τῷ εἰς Πεκὶν Πρέσβει τῆς Ῥωσσίας, συγκατένευσε νὰ κηρύττωσι τὸ Ἱερὸν Εὐαγγέλιον, καὶ νὰ διδάσκωσι τὸ Ἀνατολικὸν Δόγμα πρὸς τοὺς θέλοντας τῶν Κινέζων προαιρετικῶς νὰ δεχθῶσι τὴν χριστιανικὴν θρησκείαν· οἱ δ᾽ ἄλλοι διαφόρων δογμάτων κήρυκες, ὡς μετελθόντες πρὸς προσηλυτισμὸν τρόπους μὴ ἀρέσκοντας εἰς τοὺς Σίνας, διαφόρους διωγμοὺς ὑπέστησαν. ἴδ. Αἰγυπτιακ. σελ. 493 ἐν Ὑποσημειώσ.

δὲ ἀνὴρ ἐνάρετος· ἀλλ' ἐπὶ τῆς ἐν Ἐφέσῳ λῃστρικῆς ἐκείνης συστάσης Συνόδου τῷ 449 ἔτει, ταραχῆς γενομένης ἐκ σκευωρίας, καταρτηθείσης ὑπὸ Διοσκόρου Πατριάρχου Ἀλεξανδρείας, καὶ βίας ἐπενεχθείσης παρὰ τῶν Μονοφυσιτῶν αἱρετικῶν Ἐπισκόπων, ταξιαρχοῦντος τοῦ δυσσεβοῦς Διοσκόρου, καθαιροῦνται καὶ ἀναθεματίζονται οἱ εὐσεβεῖς Ὀρθόδοξοι Ἐπίσκοποι, σὺν οἷς δὲ|ὑπὸ τῶν ἐξαγίστων|καὶ ὁ ἐνάρετος αὐτὸς Δόμνος, ὅν τινα μετὰ ἑπταετῆ θεοφιλῆ ποιμαντορίαν τελευτήσαντα, διεδέξατο

46. *Μάξιμος*, τῷ 450 ἔτει. Συνεληλύθει δὲ καὶ αὐτὸς εἰς τὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν τῷ 451 ἔτει τετάρτην Οἰκουμενικὴν Σύνοδον μετὰ τῶν ἄλλων, καὶ συμπαρῆν μετὰ Ἰουβεναλίου τοῦ Ἱεροσολύμων καὶ τῶν ἀπὸ τοῦ Λέοντος Γ'. τοῦ Πάπα σταλέντων Αντιπροσώπων, συναγωνιζόμενος κατὰ τοῦ Ἀλεξανδρείας Διοσκόρου καὶ τοῦ Εὐτυχοῦς, οὓς καὶ ἀναθεματίσαντες ἐκάθηραν, ὡς Υἱῶν δυάδα εἰσάγοντας, παθητὴν δογματίζοντας τὴν Θεότητα, καὶ κρᾶσιν καὶ σύγχυσιν ἐπὶ τῶν δύω φύσεων φρονεῖν καὶ λέγειν τολμῶντας. Προστὰς δὲ αὐτὸς τῆς Ἐκκλησίας ἐπὶ πέντε ἐνιαυτοῖς, ἐπαύσατο τοῦ ζῆν, καὶ ἀντικαθίσταται

47. *Βασίλειος*, τῷ 456 ἔτει. Καὶ τούτου μετὰ τρία ἔτη θανόντος γίνεται

48. *Ἀκάκιος*, τῷ 459 ἔτει. Καὶ μετὰ δύω ἔτη τελευτήσαντα διαδέχεται

49. *Μαρτύριος*, τῷ 461 ἔτει. Ἐπὶ τούτου Ζήνωνι τῷ τοῦ μεγάλου Λέοντος γαμβρῷ, τῆς Ἑῴας ἁπάσης στρατηγῷ γενομένῳ, συνηκολούθησεν αὐτῷ, ὡς ὁμόφρων, ὁ τοῦ ἐν Χαλκηδόνι Ναοῦ τῆς μάρτυρος Βάσσης Πρεσβύτερος Πέτρος ὁ Κναφεύς, καὶ παραγενόμενος εἰς Ἀντιόχειαν ῥᾳδιουργεῖ κατὰ τοῦ Πατριάρχου Μαρτυρίου, διεγείρων μυρίους θορύβους, δι' οὓς ἀηδιάσας ὁ Μαρτύριος καὶ παραιτησάμενος, εἶπε, « Κλήρῳ ἀνυποτάκτῳ, λαῷ ἀπειθεῖ καὶ Ἐκκλησίᾳ ῥερυπωμένῃ ἀποτάσσομαι, φυλάττων ἐμαυτῷ τὸ τῆς Ἱερωσύνης ἀξίωμα. » Καὶ ἐπιπηδᾷ τῷ θρόνῳ αὐτὸς

50. *Πέτρος* ὁ Κναφεὺς καὶ παράνομος, τῷ 465 ἔτει. Ὅστις ἐκ πρώτης βαλβῖδος τὸ ἐν τοῖς δόγμασι διεστραμμένον φρόνημα αὐτοῦ ἐδείξατο ὁ κακόπιστος, σχίσας τὸν λαὸν Ἀντιοχείας καὶ προσθεὶς ἐν τῷ Τρισαγίῳ ὕμνῳ τὸ «ὁ σταυρωθεὶς δι' ἡμᾶς.» Τὴν δὲ καθ' αὐτοῦ ὑπὸ Λέοντος τοῦ Αὐτοκράτορος ἐξορίαν ἀκούσας φεύγει, καὶ Ἀντιοχείας προχειρίζεται

51. *Ἰουλιανός*, τῷ 466 ἔτει. Καὶ μετὰ ὀκτὼ χρόνους ἀναλαμβάνει πάλιν τὸν θρόνον τὸ δεύτερον ὁ αὐτὸς βλάσφημος θεοπασχίτης, τῇ ἐπιταγῇ Βασιλίσκου τοῦ τὴν Βασιλείαν ἁρπάσαντος

52. *Πέτρος* ὁ Κναφεὺς τῷ 474 ἔτει. Ὅςτις κατὰ τῆς ἀληθείας τοῦ δόγματος ἀντιστρατευόμενος, ταραχῶν καὶ φόνων τὴν Ἀντιόχειαν ἐπλήρωσε διὰ τὴν ἐν τῷ Τρισαγίῳ προσθήκην, κατὰ τῶν μὴ δεχομένων ταύτην. Ἀλλὰ μεθ' ἕνα χρόνον ἐπαναλαβὼν τὴν Βασιλείαν ὁ Ζήνων, διὰ τὸ συνδραμεῖν τὸν Κναφέα τῷ Βασιλίσκῳ εἰς τὴν Βασιλείαν, ψήφῳ τῆς Ἀνατολικῆς Συνόδου καθαιρεῖ αὐτὸν ὁ Ζήνων, καὶ εἰς Πιτυοῦς ἐξορίζει, καὶ ἐπιβαίνει τοῦ Θρόνου ὁ αἱρετικὸς

53. *Ἰωάννης* ὁ Β', ἐπωνυμούμενος Κωδωνάτος, τῷ 475 ἔτει. Ἀλλὰ ῥᾳδιουργίαις χρησάμενος ὁ ταραξίας Κναφεὺς ἐπιβαίνει ἀδείᾳ τοῦ Ζήνωνος τὸ τρίτον τοῦ Θρόνου, τοῦ Ἰωάννου ἐκβληθέντος τῷ 477 ἔτει. Ὃς ἐλθὼν εἰς Ἀντιοχείαν, πολλὰ κακὰ πάλιν ἐποίησεν, ἐκβολὰς Ἐπισκόπων ἀνεπιλήπτων, ἀντεισαγωγὰς καὶ χειροτονίας ἀθεσμίους, καὶ τὰ τούτοις ὅμοια ἕως, κρίσει μακροθύμῳ θείᾳ, κατηνέχθη εἰς τὰ ἐν Ἅδου κολαστήρια. Μετὰ τοῦτον γίνεται

54. *Στέφανος* ὁ Β', ὁ εὐλαβὴς τῷ 490 ἔτει. Τελευτᾷ μετὰ χρόνους τρεῖς καὶ ἀνάγεται

55. *Στέφανος* ὁ Γ', τῷ 493 ἔτει. Φονεύεται ὑπὸ τῶν αἱρετικῶν ὀξυτάτοις καλάμοις ἐν τῷ Θυσιαστηρίῳ λειτουργῶν μετὰ δύω χρόνους τῆς Ποιμαντορίας αὐτοῦ καὶ ἐπιβαίνει

56. *Καλλανδίων* ὁ αἱρετικὸς, τῷ 495 ἔτει. Καθαιρεῖται καὶ ἐξορίζεται, καὶ ἐπαναλαμβάνει τὸν Θρόνον τὸ δεύτερον

57. *Ἰωάννης* ὁ Κωδωνάτος, τῷ 495 ἔτει. Θνήσκει, καὶ διαδέχεται αὐτὸν

58. *Παλλάδιος*, ἔτει τῷ 497. Προστὰς δὲ τοῦ Θρόνου ἐπὶ ὀκτὼ ἐνιαυτοῖς τελευτᾷ, καὶ τὴν Ποιμαντορίαν ἐγχειρίζεται

59. *Φλαβιανὸς* ὁ Β', τῷ 505 ἔτει. Ἐπὶ δὲ τοῦ ὀγδόου ἔτους της φρονίμου διὰ τὰς τῆς αἱρέσεως περιστάσεις, καὶ ἐπιεικοῦς τούτου πηδαλιουχίας, ὁ τὰ τοῦ Εὐτυχοῦς φρονῶν

60. *Σεβῆρος* ὁ δυσσεβὴς, ἀποδιωχθεὶς τοῦ μεταξὺ Γάζης καὶ Μαϊουμᾶ κειμένου Μοναστηρίου, ὡς αἱρετικὸς βλάσφημος, καὶ προσελθὼν τῷ τὴν αὐτὴν κακοφροσύνην νοσοῦντι Βασιλεῖ Ἀναστασίῳ τῷ Δικόρῳ, γνώριμος καθίσταται, θωπείαις τε καὶ διαβολαῖς χρησάμενος ἐκβάλλει τέως, προστάγματι τοῦ τῆς θείας δόξης δριμυτάτου πολεμίου Δικόρου, τοῦ Θρόνου τὸν Φλαβιανὸν, ὑπερόριον εἰς Πέτραν τῆς Ἀραβίας ἀποπέμπει, καὶ ἄνεισιν αὐτὸς βιαίως ἐπ' αὐτόν. Κακεντρεχὴς δὲ φύσει καὶ κακοποιὸς ὢν, τάραχον μέγαν ἐν Ἀντιοχείᾳ διήγειρεν, ἀνάθεμα ἐκβοήσας ἐπ' Ἐκκλησίας κατὰ τῆς Δ'. Οἰκουμενικῆς Συνόδου, ὁ πλήρης ἀναθέματος αὐτὸς ὅλως. Τοὺς δὲ ὀρθοδόξους τῶν Μοναχῶν καὶ τοῦ Κλήρου, ἄλλους μὲν τούτων σιδηροδεσμίους, ὡς καταδίκους καὶ κακούργους ἐξώρισεν, ἄλλους

δὲ ἀπηνῶς ἀπέκτεινε, καὶ τὰ αὐτῶν σώματα εἰς βορὰν ὀρνέων τε καὶ θηρίων ἀπέῤῥιψε, καὶ ἄλλους εἰς τὸν παραῤῥέοντα τῇ Ἀντιοχείᾳ ποταμὸν Ὀρόντην κατεβύθισεν ἀποπνίξας, ὡς μὴ δεξαμένους πάντας τὴν κοινωνίαν αὐτοῦ. Οὕτω δὲ ὠμότατα ἐτυράννησεν ἐφ' ὅλοις πέντε ἐνιαυτοῖς μέχρι τοῦ 518 ἔτους, ὅτε Ἰουστῖνος ὁ εὐσεβὴς ἐβασίλευσε. Μαθὼν δὲ ὁ Σεβῆρος τὴν καθ' αὐτοῦ Αὐτοκρατορικὴν ἀπόφασιν οὐ μόνον ὑπερορίας, ἀλλὰ καὶ τῆς γλώττης τομῆς, ὡς χλευαστοῦ καὶ βλασφήμου, ἀπέδρα εἰς Αἴγυπτον πρὸς τοὺς αὐτοῦ ὁμόφρονας. Τούτου δὲ ἐκποδὼν γεγονότος, ὁ ξενοδόχος τοῦ Εὐβούλου χειροτονεῖται

61. *Παῦλος* ὁ Β', τῷ 518 ἔτει. Καὶ μετὰ τρεῖς χρόνους παραιτεῖται, καὶ ἀνάγεται

62. *Εὐφράσιος*, τῷ 521 ἔτει, ὁ ἐξ Ἱερουσαλήμ. Ἕκτῳ δὲ ἔτει τῆς αὐτοῦ Ἀρχιερατείας, δι' ἐμπρησμοῦ καὶ σεισμοῦ διαρκέσαντος ἐν ἡμέραις ἕξ, κατεστράφη ἡ μεγάλη καὶ περιβόητος Ἀντιόχεια, καὶ τὸ κάλλος αὐτῆς ἠφανίσθη, τάφος γενομένη 250,000 κατοίκων, σὺν οἷς, πεσούσης τῆς ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου κτισθείσης Ἐκκλησίας, κατεχώσθη καὶ ὁ Ἀντιοχείας αὐτὸς Εὐφράσιος καὶ ἀπέθανεν. Ὁ δὲ Αὐτοκράτωρ Ἰουστῖνος συναλγήσας ἐπὶ τῇ συμφορᾷ τὰ μέγιστα, καὶ φροντίσας τὴν πεσοῦσαν Ἀντιόχειαν ἀνακαινίσαι, πρὸς τοῖς ἄλλοις ἀπέστειλεν Ἐπιστάτην, ὡς καλοκἄγαθον ἄνδρα, κεκοσμημένον πρὸς τῇ σπουδῇ καὶ μαθήσει, καὶ τῇ τοιαύτῃ οὐρανίῳ ἀρετῇ τῆς πρὸς πάντας τοὺς ἐνδεεῖς οἰκτίρμονος συμπαθείας καὶ φιλανθρωπίας, τὸν τῆς Ἀνατολῆς Κόμητα, ὃν οἱ Ἀντιοχεῖς ὑπὸ εὐγνωμοσύνης ἄκρας καὶ πόθου, τῇ συναινέσει τοῦ Αὐτοκράτορος, Ποιμένα αὐτῶν χειροτονοῦσιν

63. *Ἐφραὶμ Ἀμίδαν* ἐπωνυμούμενον, τῷ 526 ἔτει. Ἐπὶ τούτου τοῦ Πατριάρχου, τελευτήσαντος τοῦ Ἰουστίνου καὶ Αὐτοκρατορήσαντος Ἰουστινιανοῦ τοῦ Μεγάλου, μετὰ δύω ἔτη τῆς πρώτης συμφορᾶς, συνέβη ἐν Ἀντιοχείᾳ σεισμὸς αὖθις τῷ 528 ἔτει, κλονισθείσης τῆς γῆς ἐπὶ ὥραν μίαν ἀδιακόπως, ὥστε κατεδαφίσθησαν τά τε ἀνοικοδομηθέντα παρὰ τοῦ Ἰουστίνου, καὶ τὰ ὑπὸ τῶν Ἀντιοχέων ἀνακαινισθέντα, καὶ αὐτὰ ἔτι τὰ τῆς Πόλεως τείχη, ἀποθανόντων ἐπὶ τῆς πτώσεως τῶν οἰκοδομῶν 4870 πολιτῶν. Ἤκμαζε δὲ τηνικαῦτα ἐν Συρίᾳ ὁ θαυματουργὸς Συμεὼν ὁ Στυλίτης, ὅστις διεμήνυσε πρὸς τοὺς διασωθέντας Ἀντιοχεῖς, ἵνα γράψωσιν ἐπὶ τὰ ὑπέρθυρα τῶν οἴκων ταῦτα· « Χριστὸς μεθ' ἡμῶν, Στῆτε, » καὶ ἔστη τῷ ὄντι ὁ κλόνος. Διὸ κελεύσει τοῦ Ἰουςινιανοῦ μετωνομάσθη ἡ Ἀντιόχεια *Θεούπολις*, ἐπωνυμίᾳ τῇ Πόλει ταύτῃ ἀξιοχρέως πρέπουσα, ὡς ἐν αὐτῇ πρώτῃ οἱ τοῦ Εὐαγγελίου μαθηταὶ καὶ ὀπαδοὶ

Χριστιανοὶ ἐκλήθησαν. Διαπρέψας δὲ ἐπὶ τοῦ Θρόνου ἐπ' ἔτεσιν εἴκοσι, πρὸς τὰς οὐρανίους ἀπῆρε μονὰς, καὶ προὐκεχείριστο.

64. *Δόμνος* ὁ Γ', τῷ 546 ἔτει. Οὗτος παρῆν ἐν τῇ ὑπὸ τοῦ Μεγάλου Ἰουστινιανοῦ συγκροτηθείσῃ Οἰκουμενικῇ πέμπτῃ Συνόδῳ ἐν Κωνσταντινουπόλει τῷ 553 ἔτει. Προστὰς δὲ τῆς Ἀντιοχέων Ἐκκλησίας ἔτεσι δέκα πρὸς τοῖς πέντε, πρὸς Κύριον ἐξεδήμησε, καὶ ἀνάγεται ἐκ τῶν Μοναχῶν τῶν ἐν τῷ Σιναίῳ Ὄρει ἀσκούντων πεπαιδευμένος ἀνὴρ

65. *Ἀναστάσιος ὁ Σιναΐτης*, τῷ 561 ἔτει. Τοῦτον δὲ, ἐν τῷ ἐννάτῳ ἔτει τῆς Ποιμαντορίας αὐτοῦ, χαιρέκακοί τινες διαβάλλουσι πρὸς τὸν Αὐταρχοῦντα τηνικαῦτα Ἰουστῖνον τὸν νεώτερον, ὡς καταχρώμενον δῆθεν τῶν τῆς Ἐκκλησίας καὶ διανέμοντα ταῦτα ἀφειδῶς. Ὁ δ' Ἄναξ πεισθεὶς τῷ ψεύδει, ἐκβάλλει μὲν τοῦ Θρόνου τὸν σεβαζόμενον καθ' ὅλην τὴν Ἑῴαν ἐπ' ἁγιότητι καὶ σοφίᾳ θεῖον ἄνδρα, ἀλλ' ἀντικαθίστησιν οὐχ ἧττονα τὴν ἀρετὴν καὶ παιδείαν

66. *Γρηγόριον*, τῷ 571 ἔτει. Ὅςτις ἐκ πρώτης ἡλικίας τοῖς μοναδικοῖς ἐναποδυσάμενος σκάμμασι, καὶ ὡς τάχιστα πρὸς τοὺς ἀνωτάτω βαθμοὺς ἐλάσας, κελεύσματι Ἰουστίνου τὴν τοῦ Σιναίου Ὄρους προεδρίαν ἀνελάβετο, καὶ ἐκ ταύτης ἤρθη ἐπὶ τὸν Ἱερατικὸν Θρόνον τῆς Θεουπόλεως Ἀντιοχείας. Ἦν δὲ τὴν γνώμην καὶ ἀρετὴν τῆς ψυχῆς κράτιστος, καὶ κλέος ἤρατο κατὰ τὴν Ποίησιν εὐρὺ, ὡς στιχοποιὸς ἄριστος. Ποιμάνας γοῦν τὴν Ἐκκλησίαν διὰ πολλῶν ἀγώνων καὶ ἄθλων ἔτη εἴκοσι πρὸς τοῖς τρισὶ, μετέβη εἰς τὰς οὐρανίους μονὰς ἐπὶ Μαυρικίου, καὶ ἀναλαμβάνει αὖθις τὸν Θρόνον

67. *Ἀναστάσιος ὁ Σιναΐτης*, τῷ 594 ἔτει. Καὶ κοσμήσας τὴν Ἐκκλησίαν πάλιν ἀρεταῖς καὶ διδάγμασιν ἄχρι τοῦ 599 ἔτους ὁ τρισόλβιος Πατὴρ τῆς Ἐκκλησίας εἰς οὐρανὸν μετεχώρησε, καταλιπὼν Συγγράμματα παντοίας μεςὰ θείας χάριτος, καὶ διαδέχεται τὸν Θρόνον

68. *Ἀναστάσιος* ἄλλος· καὶ κλήσει τῷ ἀνωτέρῳ καὶ ἀσκήσει καὶ τοῖς ὑπὲρ Πίστεως ἀθλητικοῖς ἀγωνίσμασιν ὤφθη παραπλήσιος, λαχὼν καὶ τὸν ἐκείνου Θρόνον ἐκ διαδοχῆς τῷ 599 ἔτει, ὃν ἐπ' ὅλης δεκαετίας ἰθύνας, ἐπὶ τῇ στάσει τῇ ὑπὸ Ἰουδαίων κινηθείσῃ καὶ ἐν Ἀντιοχείᾳ, πρὸς τοῖς πολλοῖς ἄλλοις, οὓς ἀνεῖλον, καὶ αὐτὸν δὴ τὸν Πατριάρχην Ἀναστάσιον ἀποσφάττουσιν ἐν τῇ ἀγορᾷ, πρότερον τὰ κρύφια αὐτοῦ ἀποτεμόντες καὶ τῷ στόματι αὐτοῦ ἐμβαλόντες πρὸς αἰσχύνην καὶ ὄνειδος οἱ ἐπάρατοι. Μετὰ δὲ τὸν ὑπὲρ Χριστοῦ θάνατον τοῦ Ἱερομάρτυρος, διαδέχεται τὸν Θρόνον

69. *Γρηγόριος* ὁ Β', τῷ 610 ἔτει. Καὶ ἀποθανόντα διαδέχεται

70. *Ἀναστάσιος* ὁ Γ', τῷ 620 ἔτει. Καὶ μετὰ ὀκτὼ χρόνους τελευτᾷ, καὶ γίνεται

71. *Μακεδόνιος*, τῷ 628 ἔτει. Ἐκδημήσαντα δὲ μετὰ δώδεκα χρόνους τῆς αὐτοῦ Ἀρχιερατείας πρὸς Κύριον, διαδέχεται αὐτὸν

72. *Γεώργιος*, τῷ 640 ἔτει. Καὶ τούτου μετὰ δέκα καὶ πέντε χρόνους τὸ ζῆν ἐκμετρήσαντος, ἐπιπηδᾷ τοῦ Θρόνου

73. *Μακάριος ὁ Μονοθελήτης*, τῷ 656 ἔτει. Ὅςτις, συγκροτηθείσης ἐπὶ Κωνσταντίνου Αὐτοκράτορος τοῦ Πωγωνάτου τῷ 680 ἔτει, τῆς Ἕκτης Οἰκουμενικῆς Συνόδου, μετάπεμπτος γενόμενος εἰς Κωνσταντινούπολιν, προσετάχθη παρὰ τοῦ Βασιλέως καὶ τῆς Συνόδου τὴν ὁμολογίαν τῆς Πίστεως αὐτοῦ ἐκδοῦναι. Ἐξέδωκε μὲν ταύτην, τὰς δὲ δύω ἐν Χριστῷ θελήσεις καὶ δύω ἐνεργείας μηδαμῶς ὁμολογῆσαι ἐθέλων, εἴρηκεν, «οὐδὲ ἐὰν μέλλῃ κατακοπῆναι καὶ βληθῆναι εἰς τὴν θάλασσαν.» Τοιούτῳ τῷ τρόπῳ ἐμμένοντος αὐτοῦ ἀδιασείστου καὶ ἀμεταβλήτου ἐν τῷ κακοφρονήματι, μίαν θέλησιν καὶ ἐνέργειαν ἐν Χριστῷ δοξάζοντος, οἱ θεῖοι Πατέρες τῆς Συνόδου τὴν τῆς καθαιρέσεως ἀπόφασιν καὶ τοῦ ἀναθέματος κατ' αὐτοῦ ἐξεφώνησαν. Μετὰ δὲ τὴν καταδίκην τούτου καὶ ὑπερορίαν προχειρίζεται

74. *Θεοφάνης*, τῷ 681 ἔτει. Διοικήσαντος δὲ τὴν Ἐκκλησίαν ἐπ' ἔτεσιν ἓξ καὶ θανόντος, τὴν τῆς Ἀντιοχείας Προεδρίαν εἴληφε

75. *Σεβαστιανὸς* ἢ *Στέφανος*, τῷ 687 ἔτει. Ἐν δὲ τῷ Θρόνῳ διανύσας ἔτη τρία, τῶν ἐντεῦθεν ἐξεδήμησε, διάδοχον καταλιπὼν

76. *Γεώργιον* Β', τὸν ἐκ Σεβαστείας, τῷ 690 ἔτει. Οὗτος ἐν τῇ Οἰκουμενικῇ συγκροτηθείσῃ ὑπὸ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου ἐν Κωνσταντινουπόλει τῷ 692 ἔτει, καὶ ἐν τῷ Τρούλλῳ τοῦ Βασιλικοῦ Παλατίου κατονομασθείσῃ Πενθέκτῃ Συνόδῳ, τῇ ἀναπληρωσάσῃ τὸ τῶν Κανόνων ὑστέρημα τῆςτε Πέμπτης καὶ τῆς Ἕκτης Συνόδου, παρῆν μετὰ τῶν λοιπῶν Πατριαρχῶν, συνεργάτης γενόμενος τῶν ὁρισθέντων Κανόνων ὑπ' αὐτῆς. Ποιμάναντος δὲ τὸν τῆς Ἀντιοχείας λαὸν ἐπ' ἐνιαυτοὺς πέντε καὶ πρὸς Κύριον ἐκδημήσαντος, διαδέχεται τὸν Θρόνον

77. *Ἀλέξανδρος* ὁ Β', τῷ 695 ἔτει. Κατὰ τὸν κινηθέντα διωγμὸν ὑπὸ τῶν Καλίφιδων Ἀράβων Πενὶ Οὐμιγιέδων, σὺν πολλοῖς ἄλλοις χριστιανοῖς φονευθεῖσιν ὑπὲρ Χριστοῦ, μαρτυρικῷ στεφάνῳ ἄνεισι καὐτὸς εἰς τὴν οὐράνιον δόξαν κεκοσμημένος, ἐν τῷ ἑβδόμῳ ἔτει τῆς Ἀρχιερατείας αὐτοῦ. Οὗ μαρτυρήσαντος, κωλυόντων τῶν Μουσουλμάνων ἀρχηγῶν τῆς Ἀρχαιρεσίας, διετέλεσεν ὁ τῆς Ἀντιοχείας θρόνος χηρεύων ἔτεσι τεσσαράκοντα, ἄχρι τοῦ 742 ἔτους, καθ' ὃ ὁ ὑπὸ τὴν ἐξουσίαν τοῦ Χαλίφου Μοαβιὲ ἀρχηγὸς τῆς Ἀντιοχείας, ἔχων τινὰ προσφιλῆ Μοναχὸν, εἶπε τοῖς Ἀντιοχεῦσιν, εἴπερ ἐθέλοιεν αὐτὸν, συγχωρηθήσεται αὐτοῖς Πατριάρχην τοῦτον

ἔχειν τῆς Ἐκκλησίας αὐτῶν, ἤδη διὰ τοσούτων ἐτῶν χηρευούσης. Οἱ οὖν Ἀντιοχεῖς θεόθεν νομίσαντες τοῦτο, χειροτονοῦσιν αὐτὸν τὸν καλούμενον

78. *Στέφανον*, τῷ 742 ἔτει, μετρούμενον ἐν τῇ σειρᾷ τῶν ἐν Ἀντιοχείᾳ Πατριαρχευσάντων, τέταρτον. Μετὰ δὲ ἓξ χρόνους θανόντα διαδέχεται ὁ Ἐδεσσηνὸς Πρεσβύτερος

79. *Θεοφύλακτος*, τῷ 748 ἔτει. Ὃς ἐν ἁγιότητι διαπρέψας, ἀνεπαύσατο μετὰ δεκαοκτὼ χρόνους ἐν εἰρήνῃ ἐπὶ Κοπρωνύμου καὶ τῶν Χαλίφιδων Ἡγεμόνων τῆς Συρίας Ἀββασιέδων, καὶ διαδέχεται αὐτὸν

80. *Θεόδωρος*, τῷ 767 ἔτει. Ἐπὶ τούτου συνεκροτήθη ἐν Νικαίᾳ τῆς Βιθυνίας τῷ 783 ἔτει ἡ Ἑβδόμη Οἰκουμενικὴ Σύνοδος. Αὐτὸς γὰρ μετά τε τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἱεροσολύμων διὰ τὸν φόβον τῶν ἐπικρατούντων τῆς χώρας ἐκείνης Δυναστῶν Χαλίφιδων μὴ δυνηθέντες ἐλθεῖν, διὰ τῶν σταλέντων παρ' αὐτῶν δύω Μοναχῶν Πρεσβυτέρων Ἰωάννου καὶ Θωμᾶ Τοποτηρητῶν, ἐν τῇ Συνόδῳ ἐνήργουν. Τούτου ἐν ἔτεσιν εἴκοσι τὸ Ἀρχιερατικὸν λειτούργημα τετελεκότος, προέστη τῷ 797 ἔτει

81. *Ἰωάννης* ὁ Δ', ὁ ἐν τῇ Ἁγίᾳ Οἰκουμενικῇ Συνόδῳ τῇ Ἑβδόμῃ Τοποτηρητὴς μετὰ Θωμᾶ, ὡς εἴρηται, τῆς Ἀνατολικῆς ἁπάσης Ἐκκλησιαστικῆς Διοικήσεως ἀποσταλείς. Ὃν μετ' ἐνιαυτοὺς δέκα πρὸς τοῖς τρισὶ γηραιὸν θανόντα διεδέξατο

82. *Ἰὼβ*, τῷ 810 ἔτει. Τούτου δὲ ἐπὶ δέκα πρὸς τοῖς ἓξ ἐνιαυτοῖς προστάντος διάδοχος γέγονε

83. *Νικόλαος*, τῷ 826 ἔτει. Ἐνιαυτοὺς δὲ ὀκτὼ Πατριαρχεύσαντος, προεχειρίσθη

84. *Συμεών*, τῷ 834 ἔτει. Καὶ τοῦτον ἕκτον ἀνύσαντα ἔτος διεδέξατο

85. *Ἠλίας*, τῷ 840 ἔτει. Οὗ ἐνιαυτοὺς δώδεκα προστάντος, διάδοχος κατέστη

86. *Θεοδόσιος*, τῷ 852 ἔτει. Ὃς προστὰς τοῦ Θρόνου ἔτη ὀκτὼ, διάδοχον καταλέλοιπε

87. *Νικόλαον* Β', τῷ 860 ἔτει. Πατριαρχεύσαντος ἔτη δέκα πρὸς τοῖς ὀκτὼ καὶ θανόντος, γέγονε

88. *Μιχαὴλ*, τῷ 879 ἔτει. Ποιμάναντος ἔτη ἕνδεκα καὶ θανόντος, προεκεχείριστο

89. *Ζαχαρίας*, τῷ 890 ἔτει. Καὶ τούτου μετὰ δώδεκα ἔτη τῶν τῇδε μεταστάντος, προβιβάζεται

90. *Γεώργιος* ὁ Γ', τῷ 902 ἔτει. Προέστη χρόνους δέκα πρὸς τοῖς πέντε, τελευτᾷ, καὶ ἀνάγεται

91. *Ἰὼβ* ὁ Β', τῷ 917 ἔτει. Διαρκέσαντος δὲ ἐπὶ τοῦ Θρόνου ἐφ' ὅλοις ἔτεσιν εἴκοσι πρὸς τοῖς δυσὶ, καὶ ἀναπαυθέντος ἐν Κυρίῳ, τὸν Θρόνον εἴληφεν

92. *Εὐστράτιος*, τῷ 939 ἔτει. Ἀρχιερατεύσαντος δὲ αὐτοῦ ἐπ' ἐνιαυτοῖς εἴκοσι, καὶ μεταβάντος ἐπὶ τὴν ἀγήρω ζωὴν, ἐγένετο

93. *Χριστοφόρος*, τῷ 960 ἔτει. Τοῦτον, τῷ 966 ἔτει, οἱ ἐν Ἀντιοχείᾳ ἀρχηγοὶ τῶν Ἀράβων, μαθόντες πλησιάζοντα τὸν γενναιότατον Αὐτοκράτορα Νικηφόρον τὸν Φωκᾶν μετὰ πολλῆς δυνάμεως, πρὸς ἀπολύτρωσιν τῆς λαμπρᾶς καθ' ἑῴαν ταύτης Πόλεως, καὶ ὑποπτευθέντες ὡς γράψαντα αὐτὸν καὶ προσκαλέσαντα τὸν Νικηφόρον, ἐθανάτωσαν ὠμότατα ὡς δῆθεν ἐπίβουλον, ῥίψαντες τὸ σῶμα αὐτοῦ εἰς τὸν παραῤῥέοντα ποταμὸν Ὀρόντην, ὃ οἱ πιστοὶ εὑρόντες εὐλαβῶς ἐνεταφίασαν. Μετὰ θάνατον τοῦ Ἱερομάρτυρος τούτου, κυριευθείσης τῆς Ἀντιοχείας ὑπὸ τῶν Βασιλικῶν στρατευμάτων, κοινῇ τῇ ψήφῳ κεχειροτόνηται

94. *Θεόδωρος* ὁ Β', ὃς διοικήσας θεαρέστως τὸν Θρόνον, ἐπὶ Νικηφόρου καὶ Ἰωάννου τοῦ Τσιμισκῆ τῶν Αὐτοκρατόρων, ἐπ' ἐνιαυτοῖς δέκα, τελευτᾷ, καὶ καθ' ἱκεσίαν τῶν Ἀντιοχέων πρὸς τὸν Αὐτοκράτορα Βασίλειον Β' τὸν Πορφυρογέννητον, τὸν καὶ Βουλγαροκτόνον ἐπωνυμούμενον, ἀνάγεται εἰς τὸν Πατριαρχικὸν Θρόνον ὁ κατὰ Συρίαν Βεῤῥοίας (Χαλεπίου) Ἐπίσκοπος

95. *Ἀγάπιος*, τῷ 977 ἔτει. Τούτου δὲ, ὁ Αὐταρχῶν Βασίλειος, ὑποσχεθέντος τήν τε ἑαυτοῦ καὶ τῶν Ἀντιοχέων ἀκλινῆ πίστιν διαφυλάξαι πρὸς τὸν Αὐτοκράτορα, πεισθεὶς τοῖς λόγοις, ἀνήγαγεν εἰς τὸν Θρόνον τῆς Ἀντιοχείας. Μετὰ δὲ δέκα χρόνους τῆς τοῦ Ἀγαπίου Ποιμαντορίας, κατανικήσας ὁ Ἄναξ αὐτὸς, καὶ καταστρέψας καὶ θανατώσας τὸν ἀποστάτην στρατηγὸν καὶ βασιλειῶντα Πέτρον τὸν Φωκᾶν, εὗρεν ἀδοκήτως ἐν τῇ τοῦ Φωκᾶ ἀποσκευῇ μίαν Ἐπιστολὴν τοῦ Ἀντιοχείας, ὅςτις ἐπεδοκίμαζε τὴν τούτου ἀνταρσίαν, προτρέπων αὐτὸν ἐπὶ ταύτην. Πρὸς δὲ πρόστιμον τῆς τοσαύτης ἀχαριστίας, οὐδὲν ἕτερον ἔπραξεν ὁ Βασίλειος, εἰμὴ φέρων αὐτὸν περιέσωσεν ἔν τινι Μοναστηρίῳ τῆς Κωνσταντινουπόλεως, ἔχοντα παρὰ τοῦ Βασιλέως τὰ πρὸς τροφὴν, καὶ ἐν ὅλοις ἑπτὰ ἔτεσι διοικοῦντα καὶ πόῤῥωθεν τὸν θρόνον αὐτοῦ, ἕως οὗ δέδωκεν ἑκουσίως τὴν αὐτοῦ παραίτησιν. Μετὰ δὲ ταύτην ἀνάγεται εἰς τὸν Θρόνον ψήφῳ τῆς Ἐκκλησίας καὶ ἐπικυρώσει τοῦ Αὐτοκράτορος αὐτοῦ Βασιλείου τοῦ Βουλγαροκτόνου,

96. *Ἰωάννης* Ε', ὁ Χαρτοφύλαξ τῆς Μεγάλης Ἐκκλησίας τῷ 995 ἔτει. Ἰθύνας δὲ τὴν Ἐκκλησίαν ἔτη πέντε, τελευτᾷ, καὶ προβιβάζεται

97. *Νικόλαος* ὁ Γ', τῷ 1000 ἔτει. Καὶ τούτου μετὰ δύω ἔτη μεταλλάξαντος τὸν βίον, προέστη

98. *Ἠλίας* ὁ Β', τῷ 1003 ἔτει. Τελευτήσαντα δὲ καὶ αὐτὸν μετὰ ἑπτὰ ἔτη διαδέχεται

99. *Γεώργιος ὁ Λάσκαρις*, ὁ μετονομασθεὶς Θεόδωρος Β', τῷ 1010 ἔτει, κατὰ τὸ ἕκτον ἔτος τῆς Βασιλείας Ῥωμανοῦ τοῦ Ἀργυροῦ. Βιώσαντος δὲ ἔτη πέντε καὶ ἀπάραντος τῶν τῆδε, προχειρίζεται

100. *Μακάριος* ὁ ἐνάρετος, τῷ 1015 ἔτει. Τούτου δὲ Πατριαρχεύσαντος ἔτη ὀκτὼ, καὶ πρὸς Κύριον ἐκδημήσαντος, προχειρίζεται

101. *Ἐλευθέριος* ὁ ἀγαθὸς, τῷ 1023 ἔτει. Ποιμαντορήσας δὲ ἐπ' ἔτεσι πέντε, θνήσκει, καὶ ἀναβιβάζεται

102. *Πέτρος* ὁ ἁγιώτατος καὶ πεπαιδευμένος, τῷ 1028 ἔτει. Ὃς ἦν τῆς Πίστεως θερμὸς ζηλωτὴς, καὶ ἐπιστολὰς ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἔπεμψε πρός τε τὸν Ῥώμης καὶ τὸν Ἀκυλίας καὶ πρὸς τὸν Κωνσταντινουπόλεως Μηχαὴλ τὸν Κηρουλάριον· καὶ ἐν τῇ συστάσει Συνόδῳ ἐπὶ Κωνσταντίνου Αὐτοκράτορος τοῦ Μονομάχου καὶ τοῦ αὐτοῦ Πατριάρχου, παρῆν γενναίως ἀγωνιζόμενος μετὰ τῶν λοιπῶν περὶ στάσεως ὑπὲρ τῆς τῶν ἱερῶν δογμάτων καὶ Κανόνων διαφθορᾶς, τῆς ὁσημέραι αὔξησιν λαμβανούσης παρὰ τοῖς Ῥώμης Προέδροις. Τούτου δὲ ἔτεσι τρισὶ πρὸς τοῖς εἴκοσι τὴν λειτουργίαν διελθόντος, καὶ πρὸς Θεὸν ἐκδημήσαντος, παραλαμβάνει ταύτην τῷ 1051 ἔτει,

103. *Ἰωάννης* ὁ ΣΤ'. Διανύσας δ' ἔτη ἕνδεκα ἐν τῇ τοῦ Θρόνου διοικήσει, τελευτᾷ, καὶ προχειρίζεται

104. *Αἰμιλιανὸς*, τῷ 1062 ἔτει. Καὶ τούτου μετὰ ἔτη πρὸς τοῖς δέκα τρία θανόντος, ἀνάγεται

105. *Θεοδόσιος* Β', τῷ 1075 ἔτει. Πατριαρχεύσας δὲ ἔτη ἐννέα, μεθίσταται τῶν τῆδε, καὶ προβιβάζεται

106. *Νικηφόρος*, τῷ 1084 ἔτει, ὁ μαῦρος ἐπωνυμούμενος. Ὃς οὔπω ἓξ ἔτη Πατριαρχεύσας, τὸν βίον μετήλλαξε, καὶ ἀνάγεται

107. *Ἰωάννης* ὁ Ζ', τῷ 1090 ἔτει. Ἐπὶ τούτου ἑάλω, μετὰ ἑπτάμηνον πολιορκίαν ὑπὸ τῶν Σταυροφόρων ἡ Ἀντιόχεια τῷ 1099 ἔτει· ἥτις πρὸ τούτου, κατὰ τὸ 1086 ἔτος, ὑπεδουλώθη ὑποπεσοῦσα εἰς τὴν ἐξουσίαν τῶν Τούρκων, ὧν ἀρχηγὸς ἦν ὁ ἐν Περσίᾳ δυναστεύων Μάλεκ Σχάχ. Ἐκυριεύθη δὲ ὑπὸ τοῦ Σουλεϊμὰν νικητοῦ καὶ κατακτητοῦ γενομένου, ἀδείᾳ τοῦ ῥηθέντος Περσίας Δυνάστου, ἀπ' Ἀντιοχείας μέχρι σχεδὸν Ἑλλησπόντου· ὑπέπεσε δὲ τῇ τούτου ἐξουσίᾳ ἕνεκα τῆς μελετωμένης ἀνταρσίας κατὰ τοῦ Αὐτο-

κράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, δι' ἐξωμοσίας, (ἵν' οὕτως ἔχῃ τὴν φιλίαν καὶ ὑπεράσπισιν, ὡς ὁμόθρησκος, τῶν Τούρκων') παρὰ τοῦ κατὰ δυστυχίαν τότε Δουκὸς ὄντος τῆς Ἀντιοχείας ἐξ Ἀρμενίων καταγομένου Φιλαρέτου, οὗ ὁ υἱὸς μὴ φέρων τὸ αἶσχος τῆς παρὰ τοῦ πατρὸς αὐτοῦ μελετωμένης ἐξωμοσίας, καὶ συνεννοηθεὶς μᾶλλον μετὰ τοῦ κυριεύοντος τότε τὴν Νίκαιαν Σουλεϊμὰν, ἢ μετὰ τοῦ Ἀλεξίου, φέρων ὡδήγησεν αὐτὸν πρὸς κατάκτησιν τῆς Ἀντιοχείας. Κυριευσάντων οὖν τῶν Λατίνων Σταυροφόρων τῆς Ἀντιοχείας, συνέβη δευτέρα χηρεία τῷ Θρόνῳ τούτῳ, χειροτονοῦντος τοῦ Πάπα καὶ ἀποστέλλοντος ψευδοπατριάρχας Ἀντιοχείας ἐπ' ἔτεσι πεντήκοντα πρὸς τοῖς πέντε. Ὁ Αὐτοκράτωρ Μανουὴλ ὁ Κομνηνὸς παρενέβαλεν εἰς Κιλικίαν μετὰ πολλῶν δυνάμεων τῷ 1154 ἔτει, καὶ ἐκεῖθεν ἐξεστράτευσεν εἰς Ἀντιόχειαν καὶ Συρίαν. Ὁ δὲ διοικῶν τότε ἐκ τῶν Σταυροφόρων τὴν Ἀντιόχειαν Πρίγκηψ Ρενὼδ δὲ Σατιλλιὸν φόβῳ συσχεθεὶς, ἐλθὼν προϋπήντησε τὸν Αὐτοκράτορα ἐν Κιλικίᾳ μετὰ πολλῆς δουλοπρεποῦς ταπεινότητος, καὶ συνώδευσεν εἰς Ἀντιόχειαν· εἰσελθὼν δὲ ὁ Ἄναξ μετὰ κρότου καὶ προπομπῆς εἰς ταύτην τὴν Πόλιν, τοῦ ῥηθέντος Πρίγκιπος Ρενὼδ κρατοῦντος τὸν περὶ τὰ φάλαρα ἀναβολέα (ζεγκὶ, Τουρκ.) τοῦ βασιλικοῦ ἵππου, ἀνενέωσεν ὁ Μανουὴλ πρὸς τοῖς ἄλλοις καὶ τὴν ἀθετηθεῖσαν ὑπόσχεσιν τὴν δοθεῖσαν πρὸς τὸν Πάππον αὐτοῦ Ἀλέξιον τὸν Αὐτοκράτορα, περὶ τοῦ εἶναι Πατριάρχην Ὀρθόδοξον Ἀντιοχείας, ἔχοντα τὰς αὐτὰς καὶ ἴσας τιμὰς τῷ τῶν Λατίνων. Διὸ προτροπῇ τοῦ Βασιλέως, ἀνάγεται εἰς τὸν Θρόνον τῆς Ἀντιοχείας ἐν Κωνσταντινουπόλει . .

108. *Ἰωάννης ὁ Θ'*, τῷ 1155 ἔτει, ὁ ποτὲ Μοναχὸς καὶ ἀρετῇ διαπρέπων τοῦ ἐν τῷ κατὰ τὴν Προποντίδα Νησιδρίῳ Ὀξείᾳ κειμένου Μοναστηρίου τοῦ Ἀρχαγγέλου Μιχαὴλ (1). Ἐλθὼν δὲ ὁ Ἰωάννης εἰς Ἀντιόχειαν, καὶ ἰθύνας τὴν Ἐκκλησίαν ἔτη τέσσαρα, μετέστη πρὸς Κύριον, καὶ προβιβάζεται . . .

109. *Εὐθύμιος*, τῷ 1159 ἔτει. Μετὰ δὲ ἔτη πέντε θανόντα διαδέχεται . .

110. *Μακάριος ὁ Β'*, τῷ 1164 ἔτει. Τοῦτον δὲ βραχὺ βιώσαντα, διεδέχθη .

111. *Ἀθανάσιος*, τῷ 1166 ἔτει. Πρὸ τοῦ χειροτονηθῆναι τοῦτον καὶ προβιβασθῆναι, ἕτερος ἦν ἐν Κωνσταντινουπόλει ὁ ὑποψή-

(1) Ἐκ τῆς Μονῆς ταύτης, κατ' ἀρχὰς τῆς Βασιλείας τοῦ Κομνηνοῦ Μανουὴλ, πρὸ δώδεκα χρόνων, καὶ ἄλλος ἐξελέγη Πατριάρχης ὁ Κωνσταντινουπόλεως Μιχαὴλ, ὁ ἀπὸ τοῦ Νησιδρίου τούτου ἐπικληθεὶς Ὀξείτης.

φιος τοῦ Θρόνου τούτου, Σωτήριχος ὁ ἐπωνυμούμενος Παντεύγενος, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον σοφίᾳ καὶ λόγων δεινότητι τοὺς ἄλλους ὑπερβάλλων. Οὔπω οὖν τούτου ἔτι κεχειροτονημένου, κινηθείσης δογματικῆς ἀμφισβητήσεως ἐν Βυζαντίῳ, ἧς ἀρχηγὸς ἦν Βασίλειός τις Ἱεροδιάκονος, πεπιστευμένος ἐπ' Ἐκκλησίας ἀναπτύσσειν τὰ θεῖα λόγια, τῇ τούτου δοξασίᾳ προσετέθη καὶ ὁ Σωτήριχος, φρονήσας « τὸν αὐτὸν καὶ ἕνα τοῦ Θεοῦ Υἱὸν καὶ θῦμα γενέσθαι, καὶ σὺν τῷ Πατρὶ τὴν θυσίαν προσδέχεσθαι. » Ἐφ' ᾧ, Συνόδου κροτηθείσης, ἐν ᾗ προεξῆρχεν ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ἱεροσολύμων, κατεδικάσθησαν ὅ,τε Βασίλειος καὶ ἄλλοι ἐπὶ λόγοις δόκιμοι, οἱ ταύτῃ τῇ δόξῃ συνθέμενοι, οἱ λέγοντες διττὰς εἰσάγειν ὑποστάσεις, εἰ τὸ μὲν ἐτύθη, τὸ δὲ τὴν θυσίαν ἐδέξατο, σὺν οἷς δὲ καὶ ὁ Παντεύγενος, καθαιρεθεὶς καὶ τοῦ ὑποψήφιος εἶναι τοῦ Θρόνου τῆς Θεουπόλεως. Τὸν δ' Ἀθανάσιον Πατριαρχεύσαντα ἐπ' ἔτεσι δέκα πρὸς τοῖς τέσσαρσι καὶ θανόντα, διαδέχεται

112. *Θεοδόσιος* ὁ Γ', τῷ 1180 ἔτει. Μετὰ δὲ τὴν διετῆ τελευτὴν τούτου, ἀνάγεται

113. *Ἠλίας* ὁ Γ', τῷ 1182 ἔτει. Καὶ τούτου λελειτουργηκότος ἐπίσης δύω ἔτη, προεκεχείριστο

114. *Χριστοφόρος* ὁ Β', τῷ 1184 ἔτει. Οἱ ἐν Ἀντιοχείᾳ Σταυροφόροι, μετὰ θάνατον τοῦ Αὐτοκράτορος Μανουὴλ καὶ τοῦ ἐν βραχεῖ Βασιλεύσαντος υἱοῦ αὐτοῦ Ἀλεξίου, ὃν ὁ ἅρπαξ τῆς Βασιλείας Ἀνδρόνικος Κομνηνὸς ὁ τύραννος δι' ἀγχόνης κατέστρεψε, μεστῶν ὄντων τῶν κοινῶν πάσης ταραχῆς καὶ συγχύσεως καὶ παντοίου χειμῶνος πολιτικοῦ ἔμπλεων, καιρὸν τοῦτον ἡγησάμενοι τῷ σκοπῷ αὐτῶν πρόσφορον, πρὸς ἀπαλλαγὴν πάσης δοθείσης τῷ Μανουὴλ παρ' αὐτῶν καὶ περὶ Πατριάρχου ὑποσχετικῆς ὑποχρεώσεως, τὸν Πατριάρχην αὐτὸν Χριστοφόρον, μετά τινας μῆνας τῆς εἰς Ἀντιόχειαν αὐτοῦ ἀφίξεως, διὰ δολοφονίας ἐκ μέσου ἐποιήσαντο. Μετὰ δὲ τὸν οἰκτρὸν τούτου θάνατον, ὁ τότε Βασιλεύων Ἰσαάκιος ὁ Ἄγγελος ἀντικατέστησεν Ἀντιοχείᾳ

115. *Θεόδωρον* Δ', τὸν Βαλσαμῶνα, τῷ 1185 ἔτει. Ὅστις φόβῳ τῶν ἐν Ἀντιοχείᾳ Λατίνων, τὸν λαχόντα αὐτῷ Θρόνον ἰδεῖν οὐκ ἠξίωται. Ἦν δὲ ἀνὴρ πεπαιδευμένος, καὶ τοῖς νόμοις καὶ Κανόσιν ἐντριβέστατος, ὡς οὐδεὶς ἄλλος τῶν τότε, καθὰ ἐκ τῶν ὧν συνέγραψε δῆλον. Ὁ Βασιλεὺς Ἰσαάκιος θέλων τὸν Ἱεροσολύμων Δοσίθεον, ὡς αὐτῷ συνήθη καὶ οἰκεῖον, εἰς τὴν Οἰκουμενικὴν μὲν ἐπᾶραι Προέδρευσιν, ἀλλὰ τὴν μετάθεσιν, ὡς μὴ συγχωρούντων ταύτην βλέπων τῶν Κανόνων, μέτεισιν ὑπούλως τὸν Βαλσαμῶνα, καὶ ὑποδείκνυσιν, ὅτι αὐτὸν μὲν βούλεται, ὡς φιλόθεον, λόγιον καὶ νο-

μοτριβῆ, μετενεγκεῖν ἐκ τῆς Ἀντιοχέων Ἐκκλησίας εἰς τὴν Οἰκουμενικὴν Περιωπὴν, ἀλλ᾽ ὑποστέλλεσθαι τὴν μετάθεσιν, ὡς τοῖς Κανόσι πάλαι ἀπάδουσαν. Ὁ δὲ Θεόδωρος τῷ δοξαρίῳ τούτῳ τῆς τιμῆς καὶ δόξης τρωθεὶς, πάντα ἐκτελῆ γενέσθαι ὑπέσχετο. Καὶ δὴ Συνόδου κροτηθείσης, καὶ τῆς συζητήσεως περὶ μεταθέσεως προβληθείσης, ὁ Θεόδωρος τὴν παρὰ τῶν Κανόνων δυσχέρειαν ἐξομαλύνας, καὶ τὸ ἄπορον τοῦ κωλύματος ἐπιλυσάμενος, αὐτὸς μὲν φενακισθεὶς Ἀντιοχείας πάλιν ἔμεινεν, ὁ δὲ Ἱεροσολύμων Δοσίθεος εἰς τὸν τῆς Κωνσταντινουπόλεως Θρόνον ἀνάγεται. Τὸν δὲ Θεόδωρον Πατριαρσαντα ἔτη δέκα πρὸς τοῖς τέσσαρσι καὶ θανόντα, διεδέχθη

116. *Ἰωακεὶμ*, τῷ 1199 ἔτει. Καὶ μετὰ ἔτη εἴκοσι τελευτήσαντα, διαδέχεται

117. *Δωρόθεος*, τῷ 1219 ἔτει. Τελευτᾷ μετὰ ἔτη εἴκοσι πρὸς τοῖς ἕξ, καὶ ἀνάγεται

118. *Συμεὼν* ὁ Β΄, τῷ 1245 ἔτει. Πατριαρχεύσας ἐπ᾽ ἔτεσι δέκα πρὸς τοῖς πέντε, θνήσκει, καὶ προχειρίζεται καὶ αὐτὸς Πέμπτος μόνῳ τῷ ὀνόματι Ἀντιοχείας ἐν Κωνσταντινουπόλει

119. *Εὐθύμιος* ὁ Β΄, τῷ 1260. Διαβιώσας δὲ μέχρι τοῦ 1268, μετέστη τῶν τῇδε, καθ᾽ ὃν χρόνον οἱ δυνάσται τῆς Αἰγύπτου Μαμλοῦκοι Βαχαρῖται κατακτήσαντες καὶ τὴν Συρίαν, ἐπολιόρκησαν καὶ ἐξεπόρθησαν καὶ τὴν Ἀντιόχειαν, ἀφαιρέσαντες αὐτὴν τῶν Λατίνων, ἧς ἐπ᾽ ἔτεσιν ἑκατὸν ἑξήκοντα πρὸς τῷ ἑνὶ ἐκυρίευον. Οἵτινες Μαμλοῦκοι ἀνεκτότεροι φανέντες τῶν Λατίνων παρέσχον ἄδειαν τοῖς χριστιανοῖς ὀρθοδόξοις ἐκλέξαι Πατριάρχην. Ἐξελέγη οὖν

120. *Θεοδόσιος* ὁ Δ΄, τῷ 1269 ἔτει. Ὅστις Πατριαρχεύσας ἔτη ἑπτὰ, θνήσκει, καὶ διαδέχεται αὐτὸν

121. *Θεοδόσιος* ὁ Ϝ΄, τῷ 1276 ἔτει. Καὶ τοῦτον μετὰ ἐννέα ἔτη παραιτηθέντα, διαδέχεται

122. *Ἀρσένιος* ὁ Ἁγιοσυμεωνίτης καλούμενος, τῷ 1285 ἔτει. Τούτου δὲ διά τινα πταίσματα καθαιρεθέντος, σχίσμα ἀνεφύη περὶ διαδοχῆς τοῦ Θρόνου ἐν μέσῳ τῶν Χριστιανῶν. Καὶ ὑπὸ μὲν τῶν Κιλίκων ψηφίζεται ὁ Τύρου Κύριλλος, ὑπὸ δὲ τῶν ὑπερισχυσάντων Ἀντιοχέων

123. *Διονύσιος* ὁ Πομπηϊουπόλεως, τῷ 1293 ἔτει. Καὶ προστάντος τῆς Ἐκκλησίας ἔτεσι δέκα πρὸς τοῖς πέντε, διάδοχος αὐτοῦ καθίσταται

124. *Μάρκος*, τῷ 1308 ἔτει. Καὶ τούτου ἔτη τέσσαρα πρὸς τοῖς τριάκοντα τῶν τῇδε μεταστάντος, τὸν Θρόνον λαμβάνει

125. *Ἰγνάτιος* ὁ Β΄, τῷ 1342 ἔτη. Τούτου δὲ ἰθύνοντος τὸν Θρόνον, χειρὶ ἐξωτερικῇ ἐπιπηδᾷ τοῦ Θρόνου Παχώμιος. Ὁ δὲ Ἰγνά-

τιος ἀπέδρα εἰς Κύπρον. Καὶ ὁ μὲν παρείσακτος καὶ ἐπιβάτης αὐτὸς ἐξοῦται μετὰ δύω χρόνους, ὁ δὲ γνήσιος Ποιμὴν Ἰγνάτιος μετὰ ἔτη ἕνδεκα τῆς αὐτοῦ Πατριαρχείας, θνήσκει ἐν Κύπρῳ, καὶ προχειρίζεται

126. *Μιχαὴλ* ὁ Β΄, τῷ 1353 ἔτει. Ἐπιτελέσαντα δ' αὐτὸν τὸ τῆς Πατριαρχείας λειτούργημα ἐπ' ἔτεσιν ἓξ πρὸς τοῖς δέκα, καὶ ἀποθανόντα διαδέχεται αὐτὸν

127. *Παχώμιος*, τῷ 1386 ἔτει. Καὶ μετὰ ἑπτὰ ἔτη ἐκδημήσαντα τῶν προσκαίρων διαδέχεται 6

128. *Νεῖλος*, τῷ 1393 ἔτει. Καὶ μετὰ ὀκτὼ ἔτη τὸν βίον μεταλλάξαντος, διάδοχος αὐτοῦ εἰς τὸν Θρόνον ἀνάγεται

129. *Μιχαὴλ* ὁ Γ΄, τῷ 1401 ἔτει. Οὗτος ἦν υἱὸς Μιχαὴλ τοῦ μετὰ τὴν χηρείαν αὐτοῦ γενομένου Μοναχοῦ καὶ Ἀρχιερέως Βόστρας, καὶ ἀνεψιὸς τοῦ προῤῥηθέντος Πατριάρχου Μιχαὴλ Β΄. Αὐτὸς δὲ εἶδε καὶ τὰς κατὰ Συρίαν τοῦ Ταμερλάνου ἐκπορθήσεις, φόνους καὶ λεηλασίας, τοῦ συλήσαντος καὶ τὰ σκεύη τοῦ Ἀντιοχικοῦ Θρόνου. Τοῦτον δὲ μετὰ ἐννέα χρόνους τελευτήσαντα, διαδέχεται

130. *Παχώμιος* ὁ Β΄, τῷ 1410 ἔτει. Ἀλλὰ μετὰ ἕνα χρόνον τελευτήσαντος, προβάλλεται

131. *Ἰωακεὶμ* ὁ Β΄, τῷ 1411 ἔτει, ὁ Ἀντιοχεύς. Καὶ τοῦτον μετὰ ἔτη δέκα πρὸς τοῖς πέντε ἀποβιώσαντα, διαδέχεται

132. *Μάρκος* ὁ Γ΄, τῷ 1426 ἔτη. Ἀποθανόντος μετὰ δέκα ἔτη τὴν τῆς Ἀντιοχείας Ἐκκλησίας Προεδρίαν εἴληφε

133. *Δωρόθεος* ὁ Β΄, ὁ τῆς Δείνας (Σεϊδαναγίας) Ἐπίσκοπος, τῷ 1436 ἔτει. Ἐπὶ τούτου συνέστη ἡ ἐν Φλωρεντίᾳ πολυθρύλλητος ἐκείνη ψευδοσύνοδος. Ὅστις μετά τε τοῦ Ἀλεξανδρείας Φιλοθέου καὶ τοῦ Ἱεροσολύμων Ἰωακεὶμ Σύνοδον ἐν Ἱερουσαλὴμ συγκροτήσαντες τῷ 1443 ἔτει, κατέκριναν ταύτην καὶ κατεδίκασαν, ὡς ἀδόκιμον καὶ ἄνομον πονηρευομένων Συνέδριον, τά τε πραχθέντα ἐν αὐτῇ, ὡς δυσσεβῆ, βίαια καὶ τυραννικά, ἠκύρωσαν καὶ ἀναθεμάτισαν, καθήραντες σὺν τῷ Λατινόφρονι Πατριάρχῃ Κωνσταντινουπόλεως Μητροφάνῃ καὶ τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας. Κατὰ δὲ τὸ 1450 ἔτος, ἐπὶ τοῦ τελευταίου ἡμῶν Αὐτοκράτορος Κωνσταντίνου τοῦ Παλαιολόγου, παραγενόμενος καὶ αὐτὸς μετὰ τοῦ αὐτοῦ Ἀλεξανδρείας, καὶ τοῦ, μετὰ θάνατον τοῦ Ἰωακεὶμ, Θεοφάνους Ἱεροσολύμων, εἰς Βυζάντιον, καὶ Σύνοδον ἐν τῷ Ναῷ τῆς Ἁγίας Σοφίας συγκροτήσαντες, ἐκάθηραν ἐπίσης καὶ τὸν διαδεχθέντα μετὰ Μητροφάνην, Πατριάρχην Κωνσταντινουπόλεως γενόμενον Γρηγόριον τὸν τῆς Μαμμῆς, ὡς Λατινοφρονοῦντα καὶ αὐτὸν, καὶ προεχειρίσαντο Ἀθανάσιον τὸν Ὀρθόδοξον. Ἀπεκήρυξε δὲ καὶ αὕτη

ἡ Σύνοδος καὶ αὖθις τὴν ἐν Φλωρεντίᾳ, ὡς ἀντικειμένην ταῖς Οἰκουμενικαῖς ἑπτὰ Συνόδοις, καὶ μιαρὰν δόλιον καὶ τυραννικὴν, καὶ ἀπεδέχθη τὴν μετὰ δακρύων μετάνοιαν τῶν ἐν ἐκείνῃ τῇ ψευδοσυνόδῳ συνελθόντων καὶ ὑπογραψάντων Ἀρχιερέων τε καὶ Κληρικῶν. Ὁ δὲ Δωρόθεος ἰθύνας τὴν τῶν Ἀντιοχέων Ἐκκλησίαν ἐπ' ἔτεσιν ὀκτὼ πρὸς τοῖς δέκα, τελευτᾷ καὶ διαδέχεται αὐτὸν

134. *Μιχαὴλ* ὁ Δ', τῷ 1454 ἔτει. Ὅςτις ἐπιβιώσας χρόνους ὀκτὼ, θνήσκει, καὶ ἐγκρατὴς τοῦ Θρόνου γέγονε

135. *Μάρκος* ὁ Δ', τῷ 1462 ἔτει. Θανόντος δὲ τούτου μετὰ ἔτη πρὸς τέσσαρσι δέκα, παραλαμβάνει τὴν τῆς Ἀντιοχείας Προεδρίαν

136. *Ἰωακεὶμ* ὁ Γ', τῷ 1476 ἔτει. Καὶ τούτου τελευτήσαντος μετὰ πρὸς τοῖς ἑπτὰ δέκα ἔτη, προχειρίζεται

137. *Γρηγόριος* ὁ Γ', Βιώσαντος αὐτοῦ ἔτη ὀκτὼ πρὸς τοῖς δέκα καὶ θανόντος, ἀνάγεται

138. *Δωρόθεος* ὁ Γ', τῷ 1511 ἔτει. Μετὰ δὲ δώδεκα ἔτη τῆς Προεδρίας αὐτοῦ, διαδέχεται αὐτὸν καθαιρεθέντα ἐπὶ Κανονικοῖς ἐγκλήμασιν ὑπὸ τῶν τριῶν Πατριαρχῶν, τοῦ τε Κωνσταντινουπόλεως Ἱερεμίου τοῦ Α', ἐλθόντος εἰς Ἱερουσαλὴμ ἐπὶ προσκυνήσει τῶν ἁγίων τόπων, τοῦ Ἀλεξανδρείας Ἰωακεὶμ παραγενομένου καὶ αὐτοῦ κατὰ πρόσκλησιν, καὶ τοῦ Ἱεροσολύμων Δωροθέου,

139. *Ἰωακεὶμ* ὁ Δ', τῷ 1524 ἔτει. Μετὰ δὲ τριάκοντα ἔτη τελευτήσαντα διαδέχεται

140. *Μιχαὴλ* ὁ Ε', τῷ 1555 ἔτει. Τοῦτον μετὰ χρόνους δώδεκα ἐπὶ πικρᾷ ψευδεῖ διαβολῇ ἐκβαλόντες τοῦ Θρόνου ἀσυνειδήτως οἱ τῆς Δαμασκοῦ, καὶ μεταπεμψάμενοι προεβίβασαν Πατριάρχην

141. *Ἰωακεὶμ* Ε', τὸν Τριπόλεως Ἐπίσκοπον, τῷ 1567 ἔτει. Ἤρξατο δὲ ἐν μέσῳ αὐτῶν διαμάχη, τοῦ μὲν Ἰωακεὶμ καθημένου ἐν Δαμασκῷ, τοῦ δὲ Μιχαὴλ ἐν Ἀπαμείᾳ τῇ αὐτοῦ Πατρίδι, ἥτις διήρκεσεν ἱκανοὺς χρόνους, ἕως οὗ ὁ Μιχαὴλ ἐπιστρέφων τὸ δεύτερον ἀπὸ Κωνσταντινουπόλεως καὶ ἀσθενήσας καθ' ὁδὸν, ἀπέθανεν ἐν Ῥόδῳ τῷ 1582 ἔτει. Ὁ δὲ Ἰωακεὶμ περιελθὼν διὰ τὴν τοῦ Θρόνου ἔνδειαν, Βλαχίαν, Μολδαβίαν καὶ αὐτὴν τὴν μικρὰν Ῥωσσίαν, καὶ ἐπανελθὼν εἰς Δαμασκὸν ἐστερήθη τῆς ὁράσεως· ἐφ' ᾧ καὶ κατηνάγκασαν αὐτὸν καὶ ἄκοντα, μετὰ τὸ χειροτονῆσαι εὐπατρίδη τινὰ Δαμασκηνὸν Ἱεροδιάκονον, Πρεσβύτερον καὶ Ἀρχιερέα τοῦ Πατριαρχείου Ἐπίτροπον, ἵνα ἀποκαταστήσῃ ἀνθ' αὐτοῦ αὐτὸν καὶ Πατριάρχην. Καὶ τούτου γενομένου, ἀνεχώρησεν ἠγανακτισμένος κατὰ τῶν Δαμασκηνῶν, καὶ ἀπῆλθεν εἰς Αἴγυπτον, ὅπου καὶ ἀπέθανε, διοικήσας καλῶς τὰ τοῦ Θρόνου ἐφ' ὅλοις ἔτεσιν ὀκτὼ πρὸς τοῖς δέκα, μέχρι τοῦ 1585 ἔτους. Ὁ δὲ ἀντικατασταθεὶς

142. *Δωρόθεος* Δ', ἰθύνας τὸν Θρόνον ἔτη δώδεκα, τελευτᾷ. Τῶν δὲ ὑποψηφίων πολλῶν ὄντων, προεκρίθη, διὰ τὸ ὑποσχεθῆναι τὴν κατ' ἔτος δόσιν τῶν καθυστερούντων πρὸς τοὺς Βασιλείους φόρους χρημάτων, τοῖς ἐν Δαμασκῷ Χριστιανοῖς.

143. *Ἀθανάσιος* Γ', ὁ Ἐπίσκοπος Χαβρανίου, τῷ 1598 ἔτει. Παρελθόντων δὲ χρόνων, καὶ τοῦ Πατριάρχου ἀναβαλλομένου ἐπὶ προφάσει ἀνεχείας χρόνον ἐκ χρόνου τὴν τῶν καθυστερούντων ἀπότισιν, μὴ ἀνεχόμενοι οἱ Χριστιανοὶ περαιτέρω τὴν τοιαύτην πρόφασιν, ἦλθον εἰς λόγους διαφερόμενοι ἐφ' ἱκανοῦ χρόνου μετὰ τοῦ Πατριάρχου, καὶ τέλος διὰ τὸ αὐτοῦ ἀνένδοτον, ἐνεκάλεσαν αὐτὸν κρινόμενοι μετ' αὐτοῦ, ἕως οὗ ἡ Ἐξουσία βαρυνθεῖσα ἐπὶ τοσαύτῃ λογομαχίᾳ, τὸν Ἀθανάσιον, ὡς μὴ φυλάξαντα τὴν ὑπόσχεσιν καὶ πείσμονα, εἱρκτῇ παρέδωκεν. Ἀλλὰ καὶ οὕτω πείσματι δουλεύοντος, συμφωνήσαντες μόνοι οἱ ἐν Δαμασκῷ, ἄνευ εἰδήσεως καὶ γνώμης τῶν λοιπῶν Χριστιανῶν τοῦ Θρόνου, ἐξελέξαντο ἕτερον Ἀντιοχείας τὸν Σιδῶνος Ἐπίσκοπον·

144. *Ἰγνάτιον* Γ'. Ἀλλ' ὑποπτευόμενοι ὑπό τε τοῦ Κλήρου καὶ τῶν λοιπῶν Χριστιανῶν ἀντίδρασιν ἐπὶ τῇ τοιαύτῃ αὐτῶν αὐθαιρέτῳ ἐκλογῇ, ἀπέστειλαν αὐτόν, ἵνα προβιβασθῇ παρὰ τοῦ Κωνσταντινουπόλεως Τιμοθέου τῷ 1614 ἔτει. Ἀλλὰ κατὰ τὸ αὐτὸ ἔτος, μετὰ τὴν ἐπάνοδον ἀπὸ Βυζαντίου τοῦ προβιβασθέντος εἰς τὸν Θρόνον Ἰγνατίου, ὁ μὲν Ἀθανάσιος ἀπολυθεὶς τῆς εἱρκτῆς, ἀπῆλθεν εἰς Τρίπολιν τῆς Συρίας, ὅπου καὶ ἐτελεύτησεν. Ὁ δὲ ἀδελφὸς αὐτοῦ, Χαβρανίου Ἐπίσκοπος ὤν, Κύριλλος, ἐκδικούμενος ἐπὶ τοῖς γενομένοις τῷ Ἀθανασίῳ αὐταδέλφῳ αὐτοῦ, μέσῳ ἰσχυρῷ χρησάμενος ἐξωτερικῆς χειρός, ὑπὸ τοῦ Ἐπιφανείας, Ἐμέσης καὶ τοῦ Ἀρκαδίας τῶν Ἀρχιερέων, καίτοι ἀκόντων, προεβιβάσθη ἐν Τριπόλει εἰς τὴν Πατριαρχείαν, ὡς μὴ ὤφειλε, διότι ἐκ τῆς ἐπεμβάσεως ταύτης ἐξερράγησαν διαμάχαι κραταιαί, σχίσμα μέγα καὶ ζημιωδέστατον ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν Χριστιανῶν, ὡς δραστηρίως κινουμένου κατὰ Ἰγνατίου τοῦ Κυρίλλου, προστατευομένου παρὰ τοῦ Κωνσταντινουπόλεως Κυρίλλου τοῦ Λουκάρεως. Τέως δὲ μὴ πεισθεὶς ὑπὸ μεταμελείας εἰς ὃ μόνος προέτεινε τῇ Ἐξουσίᾳ περὶ συγκροτήσεως γενικῆς Συνελεύσεως, ἐν ᾗ ὃς ἂν ἀποφασισθῇ ἐκ τῶν δύω, ἐκεῖνος ἔσται μόνος Πατριάρχης, δέσμιος ἀχθεὶς ἐθανατώθη οἰκτρῶς παρὰ τῆς Ἐξουσίας, καὶ ἔμεινε μόνος διοικῶν τὸν Θρόνον ὁ Ἰγνάτιος, ὅστις ἐν μέσῳ ταραχῶν καὶ καταδρομῶν Πατριαρχεύσας ἔτη τέσσαρα πρὸς τοῖς δέκα, ἐπιστρέφων ἀπὸ Σιδῶνος εἰς Βηρυτόν, καθ' ὁδὸν ὑπὸ λῃστῶν ἐφονεύθη. Μετὰ δὲ τοῦτο κοινῇ τῇ ψήφῳ ἐξελέγη ὁ ἐνάρετος Βεῤῥοίας τῆς κατὰ Συρίαν (Χα-

λεπίου), ὅς, ἀντὶ Μελετίου, προβιβασθεὶς Ἀντιοχείας, μετωνομάσθη

145. *Εὐθύμιος* Γ', τῷ 1629 ἔτει. Ποιμάνας δὲ τὴν Ἐκκλησίαν θεαρέστως ἔτη δύω, μετέστη τῶν τῇδε, ψηφίσας πρὸ τοῦ θανάτου αὐτοῦ διάδοχον τὸν παρ' αὐτῷ Ἱερομόναχον Μελέτιον Χῖον, ὡς ἐνάρετον, ὅστις ἐπί τε τῆς χειροτονίας αὐτοῦ εἰς Ἀρχιερέα καὶ ἐπὶ τοῦ προβιβασμοῦ εἰς τὸν Πατριαρχικὸν Θρόνον μετωνομάσθη καὐτὸς

146. *Εὐθύμιος* Δ', τῷ 1631 ἔτει. Ὅςτις ἐφ' ὅλοις ἔτεσι δέκα πρὸς τοῖς ἓξ ἡγησάμενος τῆς Ἐκκλησίας, θνήσκων διάδοχον καταλέλοιπε τὸν ἐκ Κοσμικοῦ Ἱερέως μετὰ χηρείαν ὑποδύντα τὸν Μοναστικὸν βίον, ἀρετῇ καὶ παιδείᾳ καλλυνόμενον, καὶ Μητροπολίτην τῆς κατὰ Συρίαν Βεῤῥοίας προχειρισθέντα

147. *Μακάριον* τὸν Γ', τῷ 1647 ἔτει. Ὅςτις διὰ τὰ ὑπὸ τοῦ ῥηθέντος Κυρίλλου συμβάντα τῶν καταδρομῶν καὶ ζημιῶν, κατενεχθέντος τοῦ Θρόνου εἰς χρέος βαρὺ καὶ δυσοικονόμητον, κατηναγκάσθη, ἵνα περιοδεύσῃ ἀλλαχοῦ ἐπὶ ζητήσει βοηθείας. Καὶ δὴ ἀφικόμενος εἰς Κωνσταντινούπολιν, ἐκεῖθεν ἀπῆλθεν εἰς Βλαχίαν καὶ Μολδαβίαν, καὶ ἐκ ταύτης διὰ τῆς Πολωνίας καὶ μικρᾶς Ῥωσσίας μετέβη εἰς Μόσχαν τῷ 1652 ἔτει, Αὐταρχοῦντος Ἀλεξίου Μιχάλοβιτσ, ὃς καὶ ἐδεξιώθη αὐτὸν εὐλαβῶς, καὶ συνέδραμεν εἰς βοήθειαν τῆς τοῦ Πατριάρχου ἀνάγκης. Ἐπέστρεψε δὲ εὐχάριστος εἰς τὸν Θρόνον αὐτοῦ καὶ ἀνεκούφισεν αὐτὸν τοῦ χρέους. Κατὰ δὲ τὸ 1666 ἔτος, κατὰ πρόσκλησιν διὰ γραμμάτων τοῦ ῥηθέντος Βασιλέως Ἀλεξίου πρὸς τοὺς τέσσαρας τῶν Πατριαρχῶν, ἵνα δικάσωσι τὰ κατὰ τὸν Πατριάρχην πάσης Ῥωσσίας Νίκωνα, ὡς φρονηματίσαντα, ἁλλόμενον ὑπὲρ τὰ ἐσκαμμένα, καταχρασθέντα τῆς εὐμενείας καὶ εὐνοίας πρὸς αὐτὸν τοῦ Ἄνακτος, οἰκειοποιηθέντα καὶ κοσμικὴν ἐξουσίαν καὶ καταστάντα ἀγέρωχον καὶ ἀφόρητον· Οὗ ἕνεκα, κατὰ Συνοδικὴν ἐν Κωνςαντινουπόλει γνώμην, ἀπεφάνθη, ὅπως ἀπέλθωσιν εἰς Μόσχβαν ὅ, τε Ἀλεξανδρείας Παΐσιος καὶ ὁ Ἀντιοχείας αὐτὸς Μακάριος. Καὶ δὴ ἀπάραντες διὰ ξηρᾶς, διὰ τῆς Ἐπισκοπῆς τοῦ τῆς Ἀντιοχείας Θρόνου Θεοδοσιουπόλεως (Ἐρσρούμ), τῆς Γεωργίας καὶ Ἀστραχανίου, καὶ ἀφικόμενοι εἰς Μόσχβαν, μετὰ τῶν ἐν Ῥωσσίᾳ Ἀρχιερέων διαδικάσαντες τὸν Νίκωνα, ἔκπτωτον τοῦ Πατριαρχείου ἐποίησαν. Ἐπανακάμψας δὲ ὁ Ἀντιοχείας ἐκ τῆς δευτέρας περιοδείας αὐτοῦ εἰς Δαμασκὸν, ἀπέτισε καὶ τὸ λοιπὸν τοῦ Θρόνου χρέος, ηὐτρέπισε καὶ ἐκαλλώπισε τὸν Πατριαρχικὸν Ναὸν, οἷς ἔφερεν ἱεροῖς βαρυτίμοις σκεύεσιν, ἀνήγειρε καὶ Πατριαρχικὸν οἴκημα καὶ ἄλλα καλὰ πεποίηκεν. Ἀπῆλθε δὲ πρὸς Κύριον Πατριαρχεύσας ἐπ' ἔτεσι τριάκοντα πρὸς τοῖς ὀκτώ. Οἱ δὲ ἐν Δαμασκῷ διὰ τὴν πρὸς τὸν μακαρίτην κλίσιν καὶ ἀγάπην, μεμνημένοι τῶν ὧν ἀγα-

θοεργιῶν πεποίηκε τῷ θρόνῳ, φωνῇ μιᾷ ἐξελέξαντο τὸν τοῦ ἀειμνήστου ἔγγονον, υἱὸν δὲ Παύλου υἱοῦ τοῦ Πατριάρχου, Ἱεροδιάκονον Κωνσταντῖνον, ἡλικίαν ἄγοντα χρόνων εἴκοσιν, ὃν μετωνόμασαν ἐπὶ τῆς χειροτονίας καὶ τοῦ προβιβασμοῦ αὐτοῦ

148. *Κύριλλον* Γ΄, τῷ 1686 ἔτει. Ἀλλὰ αὐτὸν, καίτοι νέον ὄντα, ἀλλὰ λόγον ἐν στόματι ἔχοντα καὶ φρένας γέροντος, μὴ δεχόμενοί τινες τῶν φιλοταράχων, μηδὲ ἐννοοῦντες, ὅτι ἡ χάρις ἐκζητοῦσα τοὺς ἀξίους ἀναπληροῖ τὰ ἐλλείποντα, ἔγραψαν πρὸς τὴν μεγάλην Ἐκκλησίαν κατηγοροῦντες τὸν Κύριλλον, ὡς νέον, παρὰ Κανόνας, καὶ ἀνίκανον, καὶ συνιστῶντες τὸν Ἐπιφανείας Νεόφυτον, Χῖον, ὡς ἱκανὸν καὶ ἄξιον. Ἡ δὲ Ἐκκλησία πεισθεῖσα τοῖς λόγοις μετεπέμψατο αὐτὸν, προεβίβασε καὶ ἀπέστειλεν. Ἐλθόντος δὲ εἰς Δαμασκὸν

149. *Τοῦ Νεοφύτου* τῷ 1688 ἔτει, ἡ παρουσία αὐτοῦ ἐπέφερε θορυβώδη σκάνδαλα, καὶ σχίσμα ἐν μέσῳ τῶν χριστιανῶν μέγιστον. Ἕως οὗ εὐχαριστηθεὶς ὁ Νεόφυτος, ἵνα πληρώσῃ τὰ αὐτοῦ χρέη ὁ Κύριλλος, καὶ λάβῃ τὴν Λαοδίκειαν, ἣν παρεχώρησεν αὐτῷ ὁ Κύριλλος, ἀπελθὼν ἐφησύχασεν ἐκεῖσε, ὅπου μετ' ὀλίγον ἐτελεύτησεν. Ἐπανέλαβε δὲ πάλιν μόνος ὁ Κύριλλος τὴν τοῦ Θρόνου διοίκησιν τῷ 1691 ἔτει. Ἀλλὰ μετά τινας χρόνους ὁ πειράζων τὸν Θρόνον ἐκεῖνον ἀρχέκακος, τὴν ἡσυχίαν καὶ γαλήνην τῆς Ἐκκλησίας μὴ φέρων, διὰ τῶν ἐν Χαλεπίῳ χριστιανῶν ἤγειρε νέαν προσβολὴν ταραχῶν κατὰ τοῦ Θρόνου ἐκείνου. Οἵτινες κρύφα τοῦ Κυρίλλου ἀποστείλαντες εἰς Κωνσταντινούπολιν κατώρθωσαν ὁρισμὸν καὶ ἐπιταγὴν, ἵνα χειροτονηθῇ καὶ προβιβασθῇ Πατριάρχης Ἀντιοχείας

150. *Ἀθανάσιος* ὁ Δ΄, τῷ 1700 ἔτει. Καὶ τούτου, ὡς μὴ ὤφελε, γενομένου, προῆλθον κακὰ σκανδάλων, διαιρέσεων καὶ ζημιῶν χείρονα τῶν προτέρων. Τὸ δὲ δεινότερον, ἐκ τούτου ἤρξατο καὶ ἡ λύμη τοῦ Παπισμοῦ ἐκεῖσε κατὰ Συρίαν λαμβάνειν πρόοδον· διότι ὁ Ἀθανάσιος βλέπων τὸ τοῦ Κυρίλλου μέρος ἰσχυρότερον, ἐφιλιώθη μετὰ τῶν ἐν Δαμασκῷ Παπικῶν Μισσιοναρίων, οἵτινες ὑπέσχοντο αὐτῷ διὰ τῶν ἐν Κωνσταντινουπόλει Πρέσβεων προστασίαν, οὗ ἕνεκα καὶ ὁ Κύριλλος πρὸς ἀντίδρασιν κατηναγκάσθη φιλιωθῆναι μετὰ τῶν ῥηθέντων. Καὶ ταύτης τῆς εὐκαιρίας οἱ Μισσιονάριοι δραξάμενοι, εἰσήρχοντο ἀκωλύτως εἰς τὰς τῶν χριστιανῶν οἰκίας, ἐνσπείροντες τὰ τῆς Ῥώμης διδάγματα. Τέως δὲ κορυφωθέντων τῶν διχονοιῶν καὶ σκανδάλων, συνεβιβάσθησαν, καὶ ὁ μὲν Ἀθανάσιος λαβὼν τὴν Ἐπαρχίαν τῆς κατὰ Συρίαν Βεῤῥοίας (Χαλεπίου) ἀπῆλθεν ἐκεῖσε, ὁ δὲ Κύριλλος ἔμεινεν ἐν Δαμασκῷ Πατριαρχεύων. Ἰθύνας δὲ αὐτὸς ἐφ' ἱκανὸν ἔτι τὴν Ἐκκλησίαν ἐν εἰρήνῃ

καὶ ἡσυχίᾳ, ὑποταγέντων αὐτῷ πάντων, καὶ κοινωφελὴς γενόμενος, ἐκκόψας διὰ τῶν ἀγώνων αὐτοῦ πολλὰ ἐκ τῶν χριστιανῶν παρὰ τῆς Ἐξουσίας ἀδικήματα, ἀπῆλθε τῶν τῇδε τῷ 1724 ἔτει, Πατριαρχεύσας τριάκοντα πρὸς τοῖς ὀκτὼ ἔτη. Μετὰ δὲ τὸν θάνατον τούτου διέμεινε μόνος Πατριαρχεύων ὁ Ἀθανάσιος. Ἐπιβιώσας δὲ ἔτη τέσσαρα, λυπούμενος καὶ μετανοῶν, ὅτι διὰ τὴν πρὸς τοὺς Παποπατέρας φιλίαν αὐτοῦ καὶ ἀνοχὴν αἴτιος κατέστη, ἵνα ἀποσκιρτήσωσι πολλοὶ τῶν ὀρθοδόξων ἔν τε Δαμασκῷ καὶ Χαλέπι τῶν Ἱερῶν Πατροπαραδότων, ἐναγκαλισθέντες τὰ Παπικὰ δόγματα, δελεασθέντες ἀθλίως ὑπὸ τῶν Παποπατέρων, τῶν ἐν ὀνόματι τοῦ Πάπα συγχωρούντων καὶ τὴν κατάλυσιν τῶν νηστειῶν πρὸς αὐτοὺς τοὺς φύσει κοιλιοδούλους, καὶ πᾶν ἔτι ἀπαγορευόμενον παρὰ τῆς Ἀνατολικῆς ὀρθοδόξου Ἐκκλησίας ἀθέμιτον· ὁρῶν δὲ ὅτι οὐδὲ δύναται ἀναχαιτίσαι καὶ συστεῖλαι τὸ προοδεῦον κακόν, ὑπὸ ἀθυμίας (ἕτεροι δὲ λέγουσιν, ἰοῦ θανατηφόρου κερασθέντος αὐτῷ ὑπὸ τῶν Παπισάντων) τὸ ζῆν ἐξεμέτρησεν ἐν Χαλεπίῳ, Πατριαρχεύσας μόνῳ τῷ ὀνόματι χρόνους εἴκοσι καὶ τέσσαρας, τῷ δὲ πράγματι ἔτη τέσσαρα μετὰ θάνατον τοῦ Κυρίλλου. Πρὸ δὲ τοῦ ἀποθανεῖν διάδοχον καταλέλοιπε τόν ποτε Διάκονον αὐτοῦ, ἀλλ' ἐν τῷ Ἁγίῳ Ὄρει, τῇ ἀδείᾳ αὐτοῦ ἀπελθόντα καὶ ἀσκητεύοντα

151. *Σίλβεστρος*. Κατὰ δὲ τὴν ἀναφορὰν τῶν χριστιανῶν πρὸς τὸν Οἰκουμενικὸν τότε Παΐσιον καὶ τὴν Σύνοδον περὶ τοῦ ῥηθέντος διαδόχου, μεταπεμψάμενοι αὐτὸν ἀπὸ τοῦ Ἁγιωνύμου Ὄρους ἐχειροτόνησαν Ἀρχιερέα καὶ προεβίβασαν εἰς τὸν τῆς Ἀντιοχείας Θρόνον τῷ 1728 ἔτει. Ἀνὴρ ἐναρέτου μὲν ζωῆς ὑπάρχων, ὡς ἱκανὸν χρόνον διατρίψας ἐν τοῖς τοῦ Ἄθωνος ἀσκητηρίοις, ἔνθεν τοι καὶ ὡς ἀρνησίκοσμος, ἦν τὸν τρόπον ἁπλοϊκός, εὐαπάτητος καὶ προσανέχων αὐστηρῶς ταῖς ἱεραῖς διατυπώσεσιν ἀκλόνητος καὶ ἀμετάτρεπτος. Διὸ καὶ τῆς τοιαύτης ἐν τῷ Κόσμῳ πνευματικῆς ὑψηλῆς ἀρχῆς ὤφθη ἀνεπιτήδειος. Μετὰ γὰρ τῆς ἀρετῆς δεῖ εἶναι τὸν τοιοῦτον οἰκονόμον ἄριστον, κατὰ τὰς περιστάσεις, τῶν ἀνθρωπίνων ποικίλων ἀδυναμιῶν, ἐκτελοῦντα ἔργον εὐαγγελιστοῦ ἐν ἀνοχῇ καὶ ὑπομονῇ, ἐν πρᾳότητι καὶ συγκαταβάσει, γενόμενον αὐτὸν μακρόθυμον καὶ ἀνεξίκακον, ἵν' οὕτως, ἐὰν τοὺς ἀπατηθέντας καὶ ἀφηνιάσαντας μὴ πάντας, τοὺς πλείονας γοῦν κερδήσῃ. Ἀλλ' ὁ μακαρίτης ἐκ Βυζαντίου παραγενόμενος εἰς Χαλέπι ἐν ἡμέρᾳ Τετράδι, καὶ ἰδὼν ἐν τῇ προετοιμασθείσῃ ἔξω τῆς Πόλεως πρὸς ὑποδοχὴν παρὰ τῶν Προὐχόντων Χαλεπλίδων τραπέζῃ ἰχθύας, ὀργῇ κυριευθεὶς ἀνέτρεψε ταύτην, καὶ δεινῶς ἐπέπληξε τοὺς πρὸς προϋπάντησιν αὐτοῦ ἐξελθόντας Προκριτωτέρους τῶν Χριστιανῶν, οὐδ' ἄκροις ὠσὶ προσέξας

αὐτοῖς ἀπολογουμένοις, ὅτι διὰ τὴν ἐν ἐκείνοις τοῖς μέρεσι νηςίμων ἐδωδίμων ἔλλειψιν, Ἐκκλησιαστικῇ συγκαταβάσει οἱ Προκάτοχοι αὐτοῦ Πατριάρχαι παρέσχον τὴν τοιαύτην ἄδειαν. Καὶ εἰς Χαλέπι εἰσελθὼν, οὐ μόνον ἄκαμπτος ὅλως ταῖς αὐτῶν περὶ τούτου παρακλήσεσιν ὤφθη, ἀλλὰ καὶ ἐπ' Ἐκκλησίας ἀφώρισεν αὐτοὺς, ὡς ὑπὸ λαιμαργίας ἰχθυοφάγους ἐν ἡμέραις νηστίμοις. Καὶ τούτῳ μὴ ἀρκεσθεὶς, καὶ πρὸς τὸν Σατράπην τοῦ Χαλεπίου κατεῖπε κατ' αὐτῶν, ὡς φράγκων καὶ ἀπειθῶν· ἐφ' ᾧ συλληφθέντες τῶν ἐπισημοτέρων τινὲς καθείρχθησαν καὶ ἐζημιώθησαν. Μίσει δὲ καὶ ἐκδικήσει οἱ παθόντες ἐξαφθέντες, ἀντέστρεψαν τὴν καταδρομὴν δόσει χρημάτων πρὸς τὸν Σατράπην, ὅστις ἔμελλε συλλαβεῖν τὸν Σίλβεστρον καὶ κακοποιῆσαι, ἀλλὰ γνοὺς τὸ κακὸν φυγὰς ᾤχετο εἰς Λαοδίκειαν. Μετὰ δὲ τὴν τούτου λαθραίαν ἀναχώρησιν πάντες οἱ ἐν Χαλεπίῳ μέχρι τῆς ἡμέρας ἐκείνης Ὀρθόδοξοι (ἐκτὸς μικροῦ ἀριθμοῦ τινῶν,) ἐκηρύχθησαν ἠβηδὸν Παπισταὶ, ἀποσπασθέντες ἀθλίως τῆς Μητρὸς αὐτῶν Ἀνατολικῆς Ἐκκλησίας μέχρι τῆς σήμερον. Μετὰ δὲ τοῦτο, πολλὰ κοπιάσας καὶ ἀγωνισθεὶς πρὸς ἐπιστροφὴν αὐτῶν τε τῶν ἐκσκιρτησάντων τῶν πατρῴων εὐσεβῶν δογμάτων Χαλεπλίδων, καὶ τῶν ἄλλων ἐν Δαμασκῷ, Βηρυτῷ καὶ ἀλλαχοῦ κατὰ Συρίαν, τῶν παρασυρέντων, ἀποσχισθέντων τῆς ἀληθείας, καὶ ὑποκυψάντων ἀθλίως ταῖς δυτικαῖς περὶ τὰ δόγματα καινοτομίαις, διὰ τῶν σταλέντων ἐκ Ῥώμης Μισσιοναρίων ἐν πλήρει Παπικῇ ἀφέσει καὶ συγχωρήσει καὶ νηστειῶν καὶ πάντων τῶν ἄλλων ἀθεμίτων, τῶν παρὰ τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας κεκωλυμένων· πολλὰ δὲ διενεργήσας καὶ δαπανήσας πρὸς ἀποδίωξιν τῶν τε παρεισαχθέντων ψευδεπισκόπων ἐν Χαλεπίῳ παρὰ τῶν Λατινοφρονησάντων, καὶ ἑνὸς αὐτόχθονος Λατινόφρονος ταραξίου Σεραφεὶμ, Κυρίλλου μετονομασθέντος, τοῦ γενομένου ψευδοπατριάρχου, (1) καὶ ἐπιβάντος χειρὶ ἐξωτερικῇ, ἐπί τινι καιρῷ, τοῦ Θρόνου· καὶ πρὸς ἀπάντησιν τῶν πολλῶν δαπανηθέντων, ὑπὸ ἀνεχείας καὶ στενοχωρίας περιελ-

---

(1) Οὗτος ὁ τὰ τῆς Ῥώμης διδάγματα νοσῶν, βίαν καὶ ἀπειλὰς ἐπενεγκὼν ἑνὸς δυνάστου ἰσχυροῦ τοῦ Ὄρους Λιβάνου, ὠνομάσθη Ἐπίσκοπος ἔνδον Σπηλαίου τινὸς παρὰ τοῦ τῆς Βηρυτοῦ Μητροπολίτου Νεοφύτου, καὶ ἑνὸς ἀχθέντος ἀπὸ τοῦ Λιβάνου Ἀρχιερέως Ἀρμενοκατολίκου, καταρωμένων, ἀντὶ εὐχῶν, αὐτὸν καὶ ἀφοριζόντων. Μετὰ δὲ τὴν κωμῳδίαν ταύτην, ἐρευχθέντος τοῦ καταράτου αὐτοῦ καὶ τῆς Πατριαρχικῆς ὀνομασίας, ἐτελέσθη καὶ αὕτη αὐτῷ κωμῳδογελοιωδεστέρῳ τῷ δε τῷ τρόπῳ καὶ φρικτῷ. Φράτωρ τις Καπουσσῖνος τὸ τάγμα, καὶ τῆς Ῥώμης Μισσιονάριος εἰς Συρίαν, ἐνεφύσησε πρὸς αὐτὸν τρὶς, λέγων, (ἵλαθι Χριστὲ Βασιλεῦ!) διὰ τῆς δοθείσης μοι χάριτος καὶ ἐξουσίας παρὰ τοῦ Ῥώμης ἄκρου Ἀρχιερέως, τετέλεκά σε σήμερον Πατριάρχην Ἀντιοχείας. Οὕτως ἡ ἀθέμιτος Παντοκρατορία τῆς Παπικῆς Καθέδρας καὶ ὀφρῦς καταφρονεῖ ἀνερυθριάστως θείων τε νόμων καὶ Κανόνων, ἐμπαίζουσα ἀναιδῶς πᾶν ἱερὸν καὶ ὅσιον καὶ ὑπὲρ ἑνὸς προσηλύτου εἰς Παπισμόν.

θῶν τούτου ἕνεκα Βλαχίαν, Μολδαβίαν καὶ ἄλλα μέρη, καὶ πολλὰ ὑποστὰς καθ' ὅλον τὸ διάστημα τῆς ἐπ' ἔτεσι τριάκοντα πρὸς τοῖς ὀκτὼ παραταθείσης ἐν μέσῳ τοσούτων μόχθων καὶ θλίψεων, κακουχιῶν καὶ κινδύνων, πολυωδύνου καὶ μαρτυρικῆς αὐτοῦ Πατριαρχείας, ἀπῆλθε τέως, ὡς πολύτλας, πρὸς Κύριον τῷ 1766 ἔτει ἐν Δαμασκῷ. Μετὰ δὲ τὸν αὐτοῦ θάνατον μὴ συμφωνήσαντες οἱ Ἀρχιερεῖς τοῦ Ἀντιοχικοῦ Θρόνου περὶ ἐκλογῆς νέου Πατριάρχου ἑνὸς ἐξ αὐτῶν, ὡς διαιρεθέντες τὰς γνώμας, ἔγραψαν πρὸς τὴν Μεγάλην Ἐκκλησίαν, ἥτις τὴν τῆς Μητροπόλεως Χαλεπίου διοίκησιν ἀναλαβοῦσα, παραχωρήσαντος αὐτὴν τοῦ Ἀντιοχείας, ὡς μὴ δυναμένου διὰ τὰς καταδρομὰς τῶν Παπισάντων οἰκονομῆσαι, προεβίβασεν Ἀντιοχείας τὸν πρὸ δέκα καὶ τριῶν χρόνων παρ' αὐτῆς χειροτονηθέντα καὶ σταλέντα Μητροπολίτην, Βυζάντιον τὴν πατρίδα, διατρίβοντα τότε ἐν Κωνσταντινουπόλει

152. *Φιλήμονα*, τῷ 1766 ἔτει κατὰ Ἀπρίλιον. Ὅςτις πλεύσας εἰς Βηρυτὸν ἦλθεν εἰς Δαμασκὸν, καὶ περιοδεύσας ἐκεῖθεν τὴν Ἔμεσαν καὶ Ἐπιφάνειαν, παρεγένετο εἰς Χαλέπι, ὅπου χειροτονήσας τὸν ὃν ἀφῆκε, Χαλεπίου ὤν, ἐν τῇ ἀπουσίᾳ αὐτοῦ Ἐπίτροπον Νεόφυτον Λαοδικέα, Μητροπολίτην Χαλεπίου τῇ ἀδείᾳ τοῦ Κωνσταντινουπόλεως, μετέβη ἐκεῖθεν εἰς Λαοδίκειαν, ὅπου ἀσθενήσας ἐτελεύτησε, Πατριαρχεύσας ἐνιαυτὸν ἕνα καὶ μῆνας δύω. Μετὰ δὲ καὶ τὴν τούτου τελευτὴν πάλιν μὴ συμφωνήσαντες οἱ ὑπὸ τὸν τῆς Ἀντιοχείας Θρόνον Ἀρχιερεῖς περὶ ἐκλογῆς Πατριάρχου· διότι ἄλλοι μὲν ἤθελον τὸν Βηρυτοῦ, ἄλλοι δὲ τὸν Τύρου καὶ Σιδῶνος καὶ ἄλλοι τὸν Τριπόλεως, ἔγραψαν πρὸς τὴν Μεγάλην Ἐκκλησίαν, ἥτις πρὸς παῦσιν τῆς διαιρέσεως καὶ τῶν σκανδάλων ἐχειροτόνησεν Ἀρχιερέα τὸν Πρωτοσύγκελλον τῆς Μεγάλης Ἐκκλησιας, καὶ μετέθηκεν εἰς τὸν τῆς Ἀντιοχείας Θρόνον

153. *Δανιὴλ* ἐκ Χίου ὁρμώμενον, τῷ 1767 ἔτει. Ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ ταπεινόφρων. Ἀνεκαίνισε τὸν ἐν Δαμασκῷ Πατριαρχικὸν σαθρωθέντα Ναὸν, καὶ τὸ κατὰ Συρίαν ἐπίσημον Μοναστήριον τῶν μοναζουσῶν τῆς Σεϊδαναγίας. Συνέβησαν δὲ καὶ ἐπ' αὐτοῦ πολλαὶ διενέξεις μετὰ τῶν ἐν Δαμασκῷ Παπισάντων, οἵτινες ὁρῶντες τὸ πρᾷον αὐτοῦ, ταπεινὸν καὶ ἥσυχον, οὐδὲ ἔπαυον, ὡς ἀποστάται τῆς πατρῴας εὐσεβείας καὶ ἄγγελοι γενόμενοι Σατᾶν, δεινῶς ἐνοχλοῦντες, περὶ οὗ δὶς ἀπῆλθεν εἰς Κωνσταντινούπολιν καὶ ἐπανῆλθε. Μετὰ δὲ εἴκοσι καὶ πέντε ἐνιαυτῶν Πατριαρχείαν, ἀπαυδήσας καὶ γηράσας, παρεγένετο τὸ τρίτον εἰς Βασιλεύουσαν, καὶ ἐκλέξας τὸν Ἑλενουπόλεως, Κύπριον τὴν πατρίδα, ἄνδρα πεπαιδευμένον καὶ ἠθικώτατον, παρέστησεν αὐτὸν πρὸς τὸν Οἰκουμενικὸν καὶ τὴν Σύ-

νοδον εἰπὼν, «οὗτός ἐστιν ὁ διάδοχός μου,» εἰς ὃν ποιήσας τὴν τοῦ Θρόνου παραίτησιν, ἀπῆλθεν εἰς τὴν πατρίδα αὐτοῦ Χίον. Προεβιβάσθη οὖν Ἀντιοχείας ὁ ῥηθείς

154. *Ἀνθέμιος*, τῷ 1793 ἔτει. Οὐχ ἧττον ἠγωνίσθη καὶ αὐτὸς ἀντικρούων ὡς ἐδύνατο, τὰς προσβολὰς τῶν Παπισάντων, οἵτινες γραμματεῖς γενόμενοι τῶν κατὰ Συρίαν Σατραπῶν, καὶ ἰσχύσαντες ἥρπασαν καὶ Μοναστήρια καὶ Ἐκκλησίας τῶν Ὀρθοδόξων, καταθλίβοντες αὐτοὺς, τοὺς μὲν πειθανάγκῃ, τοὺς δὲ βίᾳ, καὶ ἄλλους χρήμασι και ὑποσχέσεσιν, ἵνα ἐξομόσωσι τὰ εὐσεβῆ δόγματα, καὶ ἀσπασθῶσι τὰ τῆς Ῥώμης καινοτόμα διδάγματα κατὰ μίμησιν αὐτῶν. Πατριαρχεύσας δὲ ἐν τοιαύτῃ διαμάχῃ καὶ ἀνησυχίᾳ ἐπ' ἔτεσιν εἴκοσι πρὸς τῷ ἑνὶ, μετέστη τῶν τῇδε ἐν Δαμασκῷ. Κατὰ δὲ τὴν τῶν Ἀρχιερέων τοῦ Θρόνου καὶ τῶν Ὀρθοδόξων ἐκεῖσε πρὸς τὴν Μεγάλην Ἐκκλησίαν ἀναφορὰν, προεβιβάσθη ἐν Κωνσταντινουπόλει ὁ ψιλῷ ὀνόματι Ἀρχιερεὺς εἰς τὸν τῆς Ἀντιοχείας Θρόνον

155. *Σεραφεὶμ* ὁ Βυζάντιος, τῷ 1813 ἔτει. Καὶ οὗτος διαδεχθεὶς καὶ τὴν θέσιν καὶ τὰς αὐτὰς ὀδύνας τῶν Προκατόχων αὐτοῦ, καὶ ἐπιβιώσας χρόνους ἐννέα καὶ μῆνας ἑπτὰ, τὸν χοῦν καὐτὸς ἐναπέθετο ἐν Δαμασκῷ τῇ ιθ' Φεβρουαρίου. Μετὰ δὲ τὴν πρὸς Κύριον ἐκδημίαν τούτου, ἐστάλη κοινὴ Ἀναφορὰ εἰς τὴν Μεγάλην Ἐκκλησίαν Ἀρχιερέων τε τοῦ Θρόνου καὶ τῶν Χριστιανῶν, ἐξαιτούντων τὸν Ἀρχιεπίσκοπον Σιναίου Κωνστάντιον. Ἀποποιηθέντος δὲ τούτου καὶ μηδόλως θελήσαντος, προβιβάζεται εἰς τὸν Θρόνον ὁ Ἀγκύρας Μητροπολίτης

156. *Μεθόδιος*, Νάξιος τὴν πατρίδα, τῷ 1823, ἔτει, ὁ καὶ μέχρι τούτου (1) ἀξίως Πατριαρχεύων, ἀνὴρ ἀγαθὸς τοῖς ἤθεσι, χρηστὸς τοῖς τρόποις, ζήλῳ τε ὑπὲρ πίστεως καὶ ἀρετῇ κεκοσμημένος, δι' ὃ καὶ ἐν εὐλαβείᾳ καὶ ἐν ὑπολήψει παρὰ πᾶσιν ἐκεῖσε. Ὅσα δὲ καὶ αὐτὸς ἔτλη ἀγωνιζόμενος ὑπὲρ τῆς εὐσεβείας, φιμῶν καὶ στρεβλῶν τοὺς Λατινοφρονοῦντας καὶ ἀποστάτας ἀντιπάλους, τοὺς καὶ προσαγορευομένους Ῥωμαιοκατολίκους, ἐφ' οἷς καὶ τὰς συσκευὰς καὶ μεθοδείας καὶ τῶν εἰς Συρίαν παρεισφρησάντων Ἀναμορφωτῶν καὶ Ἱεραποστόλων καλουμένων, τῶν παντοίοις τρόποις καὶ αὐτῶν ἐπιβουλευομένων τοὺς πιστοὺς τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας, τῇ ἄνωθεν συμμαχίᾳ ἀπέκρουσεν εὐμεθόδως καὶ διέλυσεν, ἐπιστηρίξας τοὺς ἀπατηθέντας ὑπὸ χρυσίου καὶ σαλευθέντας τῆς εὐ-

---

(1) Ὅρ. Σελ. 117 τὴν σημείωσιν· διότι, καθ' ἣν ἐποχὴν συνεγράφη ἡ «Περὶ τῶν ἐν Ἀντιοχείᾳ Πατριαρχευσάντων» Συγγραφὴ, ἔζη εἰσέτι ὁ Πατριάρχης οὗτος Μεθόδιος, πρὸς ὃν καὶ ἀπεστάλη αὕτη παρὰ τοῦ ἀοιδίμου Συγγραφέως. Σημ. Ἐκδ.

σεβείας ἐν τῇ ὑγιαινούσῃ αὖθις πίστει. Ταῦτα πάντα τὰ τούτου ἀγωνίσματα, καίτοι εἰς γῆρας ἐληλακότος, ἰδιαιτέρας ἱστορίας ἐστὶν ἔργον. Ὢν δὲ καὶ φιλόκαλος, ἀλλὰ τρόπων στερούμενος, ἀπεῖδεν εἰς τὸ ἐξαιτῆσαι τὴν Ἀρκτῴαν συνδρομήν, ἧς καὶ τυχών, πρὸς τοῖς ἄλλοις ἀνῳκοδόμησεν ἐκ βάθρων καὶ τὸν ἐν Δαμασκῷ ἐρειπωθέντα Πατριαρχικὸν καὶ μόνον Ναόν, κοσμήσας καὶ εὐπρεπήσας αὐτὸν λαμπρότατα.

ΠΕΡΙ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΑΛΩΣΙΝ ΕΚ ΤΟΥ ΚΛΗΡΟΥ ΑΡΕΤΗ ΚΑΙ ΠΑΙΔΕΙΑ ΔΙΑΠΡΕΨΑΝΤΩΝ.

Α΄. *Μάξιμος* (ὁ πρότερον Μανουήλ, καὶ μέγας Ἐκκλησιάρχης), ὁ μετὰ τὴν ἅλωσιν, τῆς Κωνσταντινουπόλεως Πατριάρχης ὄγδοος. Ἀνὴρ ἐπ' ἀρετῇ καὶ μαθήσει διαβεβοημένος. Ἐποίμανε τὸν τοῦ Θεοῦ λαὸν ἐν νουθεσίαις πνευματικαῖς, κατὰ πᾶσαν Κυριακὴν καὶ ἑορτὴν τὸν λόγον τοῦ Θεοῦ παῤῥησίᾳ διδάσκων, καὶ ἐνισχύων τοὺς εὐσεβεῖς γενναίως φέρειν τὰ τῶν καταθλίψεων παρεμπίπτοντα. Οὗ ἡ φήμη καὶ εἰς τὰ τοῦ Κρατοῦντος τότε Πορθητοῦ τῆς Πόλεως ὦτα ἔφθασεν, ὃν τέως ἠξίωσε τὸ ἱερὸν Σύμβολον τῆς τῶν χριστιανῶν Πίστεως ἀναπτύξασθαι τουρκικῇ τῇ γλώσσῃ, ἧς ἦν εἰδήμων. Ποιμάνας δὲ τὴν Ἐκκλησίαν ὁ Θεσπέσιος εὐκλεῶς ἐφ' ὅλοις ἔτεσιν ἕξ, πρὸς Κύριον ἐξεδήμησε τῷ 1488 ἔτει.

Β΄. *Ἱερεμίας* ὁ Β΄. Πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ παιδείᾳ τῇ ἱερᾷ καὶ τῇ θύραθεν, καὶ ἀρεταῖς παντοίαις κεκοσμημένος. Πρὸς τοῦτον τὸν ἀοίδιμον οἱ ἀπὸ τῆς Τυβίγγης τῆς Γερμανίας ἐπιστολὰς πεπόμφασι μετὰ τῶν Κεφαλαίων τῆς Πίστεως τῆς αὐτῶν μεταῤῥυθμισθείσης Ἐκκλησίας, καὶ ζητοῦντες τὰς ἀποκρίσεις. Ὁ δὲ Πατριάρχης τρεῖς κατ' ἐκείνων τῶν Κεφαλαίων συντάξας πνευματικὰς ἀποκρίσεις, τοῖς γράψασι σοφοῖς ἀνδράσιν ἀντέπεμψε, τὴν μὲν πρὸς τοὺς ἐν Αὐγούστῃ τῷ 1576, ἔτει, τὴν δὲ εἰς Τυβίγγην τῷ 1576, καὶ τελευταῖον τὴν τρίτην εἰς Βίλνην τῷ 1581 ἔτει· ἐν αἷς ἐπιστολαῖς τὰ ἀρχῆθεν ἐπικρατήσαντα τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἱερὰ δόγματα καὶ σεπτὰς παραδόσεις διαῤῥήδην ἐξέθετο, ἐξελέγχων τὰς τῶν Ἀναμορφωτῶν περὶ τὴν εὐσέβειαν καινοτομίας. Οὗτος παραγενόμενος εἰς Μόσχβαν μεθ' ἑνὸς Μητροπολίτου καὶ

δύω Ἐπισκόπων, κατ' ἀξίωσιν τοῦ τότε πάσης Ῥωσσίας Αὐταρχοῦντος Θεοδώρου Ἰωάννου, τὸν Μόσχβας Μητροπολίτην Ἰὼβ πάσης Ῥωσσίας Πατριάρχην προεβίβασε τῷ 1588 ἔτει. Ὑπέστη καὐτὸς ὁ ἀείμνηστος, ὡς καὶ ἄλλοι πολύαθλοι τῆς εὐσεβείας ἀγωνισταὶ καὶ τῶν Ἀποστόλων διάδοχοι, ὑπὲρ τῆς Ἐκκλησίας πολλοὺς διωγμοὺς, τρὶς Πατριαρχεύσας. Ποιμάνας δὲ τὴν Ἐκκλησίαν θεοφιλῶς μετὰ κλέους, ἐκοιμήθη ἐν Κυρίῳ τῷ 1594 ἔτει.

Γ΄. Αὐγούστης δὲ ταύτης τῆς Ις΄. ἑκατονταετηρίδος, Γαβριὴλ ἤκμαζεν ὁ Σεβῆρος, ἐκ Πελοποννήσου ὁρμώμενος. Μέγα δὲ ὄνομα ἐπ' ἀρετῇ καὶ παιδείᾳ ἔχων, τῆς ἐν Ἐνετίᾳ παροικούσης τῶν Ἀνατολικῶν Ἐκκλησίας, ψήφῳ τοῦ Κωνσταντινουπόλεως Πατριάρχου καὶ τῆς Συνόδου, Φιλαδελφείας τῷ ὀνόματι Ἀρχιερεὺς κεχειροτόνηται, καὶ τὴν Ποιμαντορίαν τῶν Ὀρθοδόξων ἐκεῖσε πεπίστευται. Ἐξέδοτο οὗτος Βιβλίον περὶ τῶν ἑπτὰ μυστηρίων τῆς Ἐκκλησίας, καὶ περὶ τῶν πέντε διαφορῶν κατὰ Λατίνων.

Δ΄. Κατ' αὐτὸν δὲ τὸν χρόνον ἤνθει Μελέτιος ὁ Πηγᾶς, (1) Κρὴς τὴν πατρίδα, ὁ τῶν Ἀλεξανδρέων Πατριαρχικὸν καλλύνας Θρόνον. Οὗ τὸ περὶ τὴν ἔσω καὶ ἔξω μάθησιν κλέος, οὐχ ὅπως τὸ καθ' ἡμᾶς τοὺς Ἀνατολικοὺς εὐσεβεῖς, ἀλλὰ καὶ τῶν ἀν' Εὐρώπην ἐθνῶν διῆλθε διαπεφοιτηκός. Ἔγραψε πολλὰ κατὰ τῶν καινοτομιῶν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. Ἔτι δὲ καὶ ἄλλα Συγγράμματα ἐν εἴδει Ἐπιστολῶν, πηγάζοντα φερωνύμως ἐκ καθαρωτάτων ναμάτων τῆς θείας διδασκαλίας, πρός τε τὸν εὐσεβέστατον Βασίλειον τῶν Ῥώσσων Βασιλέα, πρὸς τοὺς ἐν Πολωνίᾳ ὀρθοδόξους καὶ πρὸς τοὺς ὁμογενεῖς αὐτοῦ Ἕλληνας, δι' ὧν στηρίζων τοὺς πιστοὺς ἐν τῇ πατρῴᾳ εὐσεβείᾳ, ἀνασκευάζει τὰς τῶν Λατίνων πλάνας, ἐν ᾧ καὶ τῶν Αναμορφωτῶν. Ἐπιβιοὺς οὖν ἄχρι τοῦ 1603 ἔτους, Θεῷ παρέθετο ὁ διαπρύσιος οὗτος κήρυξ τῆς εὐσεβείας τὸ αὐτοῦ Πνεῦμα.

Ε΄. Ἐπὶ δὲ τούτοις, συγχρόνως ἤκμαζε καὶ Μάξιμος ὁ Μαργούνιος Κυθήρων Ἐπίσκοπος· ἀνὴρ εἰς ἄκρον φιλοσοφικῶν καὶ θεολογικῶν μαθημάτων ἐληλακὼς, καὶ τὸν Ἕλληνα λόγον ἐπιτηδεύσας τῶν παλαιῶν οὐ πάνυ τι ἀποδέοντα. Ἐξέδωκεν ἐπιστολὰς πλείσας, εὐφραδείᾳ, καλλιεπείᾳ καὶ νοημάτων ὕψει κομώσας. Ἔτι δὲ κατὰ Λατίνων περὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως λόγους τρεῖς, καὶ ἄλλα πλεῖστα Συγγράμματα.

ς΄. Μετὰ τὴν τελευτὴν Μελετίου τοῦ Ἀλεξανδρείας Πατριάρχου, ἀνάγεται τῷ 1603 ἔτει εἰς τὸν Θρόνον τῶν Ἀλεξανδρέων Κύριλλος

---

(1) Περὶ τούτου ἴδ. καὶ ἐν τῇ «Περὶ τῆς Πατριαρχικῆς Σχολῆς» Συγγραφῇ, §. 13. (Σημ. Ἐκδ.)

ὁ Λούκαρις, (1) Κρὴς καὐτὸς τὴν πατρίδα, ἀνὴρ περικλεὴς ἔν τε παιδείᾳ καὶ ἀρετῇ. Μετὰ δὲ τὸ ἰθῦναι τὸν Θρόνον αὐτὸν ἐφ' ὅλοις ἔτεσιν ὀκτὼ πρὸς τοῖς δέκα, ἡ ἐν Βυζαντίῳ Σύνοδος τῶν Ἀρχιερέων μετὰ τοῦ Γένους, τελευτήσαντος τοῦ τότε Πατριαρχοῦντος Τιμοθέου, ἐξελέξαντο τὸν Κύριλλον Πατριάρχην Κωνσταντινουπόλεως, ὃν καὶ μεταθέντες, Οἰκουμενικὸν Πατριάρχην ἐπευφήμησαν τῷ 1621 ἔτει. Ἐπιλήψει ὁ χρόνος ἡμῖν διηγουμένοις ὅσα πάνδεινα ὁ καρτερικώτατος αὐτὸς τετράκις Πατριαρχεύσας ὑπέστη παρὰ τῶν τῆς θαυμαστῆς τοῦ Λοϊόλα οἰκογενείας τέκνων, τῶν διακαεστέρων καὶ θερμοτέρων ζηλωτῶν καὶ προστατῶν τῆς Παπικῆς δυναστείας. Οἱ Ἰησουῖται αὐτοί, διότι ὁ Πατριάρχης ἐπαγρυπνῶν κατήργησε τὰ ἃ ἐν Κωνσταντινουπόλει ἱδρύσαντο ἀμισθὶ Σχολεῖα ἐπὶ κατηχήσει καὶ προσηλυτισμῷ τῶν ὀρθοδόξων παίδων, καὶ διὰ τῆς ἐξουσίας ἀπεδίωξεν αὐτοὺς τῆς Κωνσταντινουπόλεως, ἀναφανδὸν ἐκβακχεύεσθαι ἤρξαντο, καὶ τὰς πανδείνους καὶ ἀνυποστάτους κατ' αὐτοῦ διαβολὰς καὶ συκοφαντίας ἐξερεύγεσθαι. Καὶ δὴ πρὸς ταῖς ἄλλαις συκοφαντίαις ἐκδικούμενοι οἱ γεννάδαι, τὴν πικροτέραν κατὰ τοῦ εὐσεβοῦς ἀνδρὸς ἔπλασαν, Καλβινοφρονεῖν διακηρύξαντες αὐτόν. Ἧς συκοφαντίας τὸ ψεῦδος, ὁ τηνικαῦτα ἐν Μολδαβίᾳ ἐνδημῶν, κατὰ τὸ 1630 ἔτος, Πατριάρχης Ἱεροσολύμων Θεοφάνης, ἐρωτηθεὶς ἀπέδειξε πρῶτον, καὶ αὖθις ἡ κατὰ τὸ 1642 ἔτος ἐν Ἰασίῳ τῆς Μολδαβίας ἀθροισθεῖσα Σύνοδος, ἐν ᾗ παρῆν καὶ ὁ περικλεὴς ἐπὶ μαθήσει καὶ ἀρετῇ Μητροπολίτης Κιαιβίας Πέτρος ὁ Μογίλας, τὰ μὲν λουτεροκαλβινισμὸν ὄζοντα ἐκεῖνα Κεφάλαια κατέκρινε καὶ ἀναθέματι ὑπέβαλε, τὸν δὲ Κύριλλον ἀμέτοχον τούτων ἀπέφηνε. Τότε δὲ καὶ τὴν ὑπὸ τοῦ σοφοῦ Μητροπολίτου τούτου Πέτρου συντεθεῖσαν Ὀρθόδοξον ὁμολογίαν οἱ τῆς Συνόδου δοκιμάσαντες ἐπικύρωσαν. Τούτων δὲ τῶν ἀνυποίστων καταδρομῶν ὡς μὴ ἐπαρκουσῶν, κραταιότερον ἐπὶ τὸν Πατριάρχην τὰ τῶν ἀντιπάλων Ἰησουϊτῶν φέρεται κύματα· καὶ δὴ βουλευσάμενοι, ἐπιβουλὴν αὐτῷ καταρτύουσι τὴν πρὸς θάνατον. Διὸ καὶ πολλοῖς χρήμασι τοῖς ἐκ Ῥώμοις πεμφθεῖσιν αὐτοῖς, ἔπεισαν τὸν τότε Ἀνθύπατον, (ὡς ἐκστρατεύοντος τοῦ τότε Σουλτανεύοντος Μουρὰτ τοῦ Δ'. μετὰ τοῦ Ὑπάτου, καὶ πολιορκοῦντος τὸ ὑπὸ Περσῶν κατεχόμενον Βαγδάτ·) ἐξῶσαι τὸν γηραιὸν καὶ πολύτλαν Κύριλλον, Πατριαρχεύοντα τὸ τέταρτον, καὶ θανατῶσαι αὐτόν. Καὶ δὴ ἀποστείλας ἀπήγαγεν αὐτὸν εἰς τὸ κατὰ τὸν Βόσπορον Εὐρωπαϊκὸν Φρούριον (Ῥούμελι Χισάρ,) ὅπου ἀγχόνῃ ἐξάγει τοῦ βίου τὸν Τρισόλβιον, τὸ δὲ σῶμα αὐ-

(1) Ἰδ. αὐτόθ. Περὶ τῆς Πατριαρχ. Σχ. (Σημ. Ἐκδ.)

τοῦ ῥίπτεται εἰς τὴν θάλασσαν, τῷ 1638 ἔτει. (1) Καὶ οὕτω πέρας εἴληφε τὸ περὶ τὸν μακάριον Πατριάρχην Κύριλλον τὸν Λούκαριν δεινὸν δρᾶμα.

Ζ΄. *Γεράσιμος*, Κρὴς τὴν πατρίδα, Πατριάρχης Ἀλεξανδρείας μετὰ Κύριλλον τὸν Λούκαριν, ἀνὴρ δαήμων πρὸς τῷ Ἑλληνικῷ λόγῳ καὶ τῆς Ἑβραϊκῆς καὶ Λατινικῆς γλώσσης, φιλόσοφος καὶ θεολόγος ἄριστος. Συνέγραψε διάφορα. Οἰκείᾳ δὲ τέως θελήσει παραιτησάμενος τὸν θρόνον, τὸ λοιπὸν τοῦ βίου ἐν τῷ τοῦ Ἄθωνος Ὄρει ἐν ἡσυχίᾳ παρήμειψε.

Η΄. *Μάξιμος* Ἱερομόναχος Πελοποννήσιος, μαθητὴς χρηματίσας τοῦ ἀοιδίμου Πατριάρχου Μελετίου Πηγᾶ. Ὅστις ἔγραψε Κεφάλαια πέντε πρὸς τοῖς εἴκοσιν ἐν τῇ καθομιλουμένῃ γλώσσῃ πρὸς ὠφέλειαν τῶν ἁπλουστέρων, κατὰ Λατίνων, καὶ ἑτέρους Ἐκκλησιαστικοὺς λόγους, τῶν ἐν ἁπάσαις ταῖς Κυριακαῖς τοῦ ὅλου ἐνιαυτοῦ τοῦ Εὐαγγελίου κοινωφελεῖς.

Θ΄. Ὁ μεσούσης τῆς ΙΖ΄ Ἑκατονταετηρίδος ἀκμάσας Μελέτιος ὁ Συρίγου, ἐκ Κρήτης καὐτὸς ὥρμητο. Ἀνὴρ ἐνάρετος, πᾶσαν ἐπιστήμην ἐν τῷ λέγειν καὶ γράφειν, ἐν τοῖς κατὰ τὸ Πατάβιον τῆς Ἐνετίας Παιδευτηρίοις ἑαυτὸν ἐνήσκησεν. Ὅστις Πρωτοσύγκελλος τῆς Μ. Ἐκκλησίας ἐχρημάτισε, καὶ Ἱεροκήρυξ εἶτα καὶ διδάσκαλος ἐπωνομάσθη, γενναίως ὑπὲρ ταύτης τῆς Ἐκκλησίας ἐν ταῖς τότε κατηγωνίζετο στάσεσιν. Ἀποσταλεὶς εἰς Γιάσιον τῆς Μολδαβίας παρὰ τοῦ τότε Κωνσταντινουπόλεως Παρθενίου μετ᾿ ἄλλων Ἀρχιερέων, συνεστήσατο ἐκεῖ, μετὰ τοῦ ἐλθόντος ἐκ Κιαίβου διαπρεποῦς ἀνδρὸς περὶ φιλοσοφίαν καὶ θεολογίαν Πέτρου τοῦ Μογίλα, Σύνοδον, ἐν ᾗ τὰ ἐπ᾿ ὀνόματι Κυρίλλου τοῦ Λουκάρεως περιφερόμενα αἱρετικῆς φρενοβλαβείας Κεφάλαια, κατεκρίθησαν καὶ ἀναθεματίσθησαν, ὡς εἴρηται ἀνωτέρω. Συνέγραψεν ἀντίῤῥησιν τῶν ῥηθέντων Κεφαλαίων, καὶ εἰς τὰς τέσσαρας ἐρωταποκρίσεις αὐτῶν.

Ι΄. *Θεόφιλος* Κορυδαλεὺς (2) ὁ ἐξ Ἀθηνῶν, ὃς ἐν Ῥώμῃ μὲν τὰ Ἐγκύκλια τῶν παιδευμάτων ἐκδιδαχθείς, ἐν Παταβίῳ τὰ φιλόσοφα παρέλαβε. Διαπρέψας δὲ ἐν τῇ κατὰ τὴν Βυζαντίδα Πατριαρχικῇ Σχολῇ Ἀρχιδιδάσκαλος, προήχθη εἶτα Ἀρχιερεὺς ἐπὶ τὴν Μητρόπολιν τῆς Ἄρτης, Θεοδόσιος μετονομασθείς. Ἐφ᾿ ἱκανοὺς δὲ χρόνους

---

(1) Ἐν Κωνσταντινιάδ. σελ. 221. Ἐκδ. Β΄. ὑποσημειοῖ ὁ ἀοίδιμος Κωνστάντιος, ὅτι τῷ 1640 ἔτει τὰ λείψανα τούτου ἀπὸ τοῦ κατὰ τὴν Προποντίδα μικροῦ Ζεύγματος τοῦ καὶ Ῥηγίου (Κιουτζοὺκ Τζεκμετζὲ) μετακομισθέντα καὶ ψαλέντα ἐν τῷ Ναῷ τοῦ Πατριαρχείου, ἐστάλησαν εἰς τὸ ἐν Χάλκῃ Μοναστήριον τῆς Παναγίας. Σημ. Ἐκδ.

(2) Περὶ τούτου ἴδ. ἐν τῇ «Περὶ τῆς Πατριαρ. Σχολῆς» Συγγραφῇ, §. 14. (Σημ. Ἐκδ.)

ποιμάνας τὸν ἐκεῖσε εὐσεβῆ λαὸν, μετὰ δὲ ταῦτα παραιτησάμενος, εἰς τὴν ἑαυτοῦ Πατρίδα ἐπανῆλθεν, ὅπου καὶ ἐτελεύτησε. Τούτου μὲν γὰρ τῆς ἐν λόγοις ἀρετῆς πολλὰ μὲν τὰ ἐν Συγγραφαῖς περιφερόμενα δόγματα, οἷα τὰ τῆς Ῥητορικῆς, Λογικῆς, Φυσικῆς, Μεταφυσικῆς, περὶ ψυχῆς καὶ ἄλλα, ἃ ἐξέδοτο, ἐφ' οἷς δὲ Τύπους Ἐπιστολικοὺς, καὶ περὶ Μυστηρίων, πολλὰ δὲ κἂν τοῖς αὐτῷ προσωμιληκόσι τὰ μαρτύρια, ὧν ἄλλοι τε πολλοί, καί...

ΙΑ. *Διονύσιος*, ὁ Μητροπολίτης χρηματίσας Ναυπλίου, παιδείας τε ἄλλης καὶ φιλοσοφίας ἀνὴρ οὐκ ἄγευστος.

ΙΒ. *Νεκτάριος*, ὁ Ἱεροσολύμων Πατριάρχης, ἀπὸ Κρήτης καὶ αὐτὸς ὡρμητο. Τὰ μὲν ἐγκύκλια ἐμαθήτευσεν, ἐν τῷ κατὰ τὸν Χάνδακα τῆς Κρήτης Μετοχίῳ τῶν Σιναϊτῶν, παρὰ Μελετίῳ τῷ ἐπίκλην Μαύρῃ διδασκάλῳ, τὰ δὲ λογικὰ καὶ φιλοσοφικὰ παρὰ Θεοφίλῳ τῷ Κορυδαλεῖ. Ἐν Σιναίῳ δὲ διατρίβων (ἐκεῖ γὰρ τὰ τῆς ἀσκήσεως ἐπαιδεύθη), τὴν τῶν Ἀράβων δυναστειῶν χρονολογίαν συνέταξεν. Ἀποθανόντων δὲ συγχρόνως τοῦ τε Παϊσίου Πατριάρχου Ἱεροσολύμων καὶ τοῦ Ἀρχιεπισκόπου Σιναίου Ἰωάσαφ, οἱ μὲν Σιναΐται ὡς σύσκηνον αὐτῶν, ἐξελέξαντο αὐτὸν Ἀρχιεπίσκοπον, ἡ δ' ἐν Κωνσταντινουπόλει Σύνοδος μετὰ τοῦ Πατριάρχου καὶ τοῦ Γένους, ψήφῳ καὶ τῶν τοῦ Ἁγίου Τάφου Ἀρχιερέων καὶ λοιπῶν Πατέρων, Πατριάρχην Ἱεροσολύμων. Νικησάσης δὲ τῆς κρείττονος ψήφου κεχειροτόνηται Ἀρχιερεὺς Καισαρείας τῆς Φιλίππου, εἶθ' οὕτως ἀνάγεται εἰς τὸν Πατριαρχικὸν Θρόνον Ἱεροσολύμων. Ἰθύνας δὲ τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν χρόνους ἑπτὰ, καὶ παραιτησάμενος διὰ γῆρας καὶ ἀσθένειαν, ἀπῆλθεν εἰς Ἱεροσόλυμα, ἔνθα τὸ λοιπὸν ἐν ἡσυχίᾳ τοῦ βίου παραμείψας, πρὸς Κύριον ἀπεδήμησε τῷ 1682 ἔτει. Πολὺς γὰρ ὤφθη διὰ τὰ αὐτοῦ κατὰ Παπιζόντων ἀγωνίσματα, καὶ Σύνταγμα τῷ Γένει λαμπρὸν κατέλιπε κατὰ τῆς Ἀρχῆς τοῦ Πάπα, τυπωθὲν ἐν Γιασίῳ τῆς Μολδαβίας τῷ 1682 ἔτει, τῷ αὐτῷ τῆς αὐτοῦ τελευτῆς.

ΙΓ. *Γερμανὸς* ὁ Αἰτωλὸς, ὁ Μητροπολίτης ὕστερον Νύσσης, μαθητὴς Κορυδαλέως, εἰς ἀκρότητα παιδείας καὐτὸς βλέπων.

ΙΔ. *Ἀθανάσιος* τοὐπίκλην Πατελλάριος, ἐκ τῶν τοῦ Σιναίου Ὄρους Μοναστῶν, Κρὴς καὶ οὗτος τὴν πατρίδα, Πατριάρχης Κωνσταντινουπόλεως, περὶ τὸ 1634 τὸ πρῶτον, καὶ τὸ 1652 τὸ δεύτερον, ἐγκρατὴς τῆς Ἑλληνικῆς καὶ Λατινικῆς γλώσσης, καὶ πρὸς τοῖς ἱεροῖς μαθήμασι τῆς θεολογίας, οὐδὲ τῶν κατὰ φιλοσοφίαν δογμάτων ἀμελῶς ἐσχηκώς. Μεταβὰς δ' εἰς Ῥωσσίαν καὶ ὁσίως βιώσας μεθίσταται εἰς τὰς αἰωνίους Μονάς. Κεῖται δὲ κεκηδευμένος ὁ νεκρὸς αὐτοῦ ἐν Λουπέντι τῆς Ῥωσσίας εὐλαβῶς τιμώμενος.

ΙΕʹ. Ἐπὶ δὲ τούτοις ἡ Κρήτη καὶ Γεράσιμον ἄλλον ἐδίδου Βλάχον τοὐπίκλην, ἄνδρα περὶ φιλοσοφίαν καὶ θεολογίαν ἐν πολλοῖς διαπρέψαντα. Ὅςτις εἰς Ἐνετίαν παραγενόμενος καὶ ἐν αὐτῇ διάγων, τοῦ δ' ἐκεῖσε Ἀρχιερέως Φιλαδελφείας τεθνηκότος, ὑπὸ τῶν ἐν Ἐνετίᾳ Ὀρθοδόξων Χριστιανῶν Ἀρχιερεὺς Φιλαδελφείας, ποιμὴν αὐτῶν ἐξελέχθη· καὶ δὴ ἀδείᾳ τοῦ Κωνσταντινουπόλεως Πατριάρχου κεχειροτόνηται. Προστὰς δὲ τῆς ἐκεῖσε τῶν Ἑλλήνων Ἐκκλησίας ὀρθοδόξως, τὸ ζῆν ἐξεμέτρησε, ληγούσης τῆς ΙΖʹ ἑκατονταετηρίδος. Συνέγραψε Ῥητορικὴν, Λογικὴν, Φυσικὴν, Θεολογίαν κατὰ τοὺς Σχολαστικοὺς, Ἑρμηνείαν ὁριστικὴν τῶν ὄντων, Κοινοελληνικὸν Λεξικὸν, καὶ ἄλλα διάφορα, ἐξ ὧν τὰ πλεῖστα τύποις προέκυψαν.

ΙϚʹ. Ἤνεγκε δὲ ὁ αὐτὸς χρόνος καὶ τοὺς ἐκ Χίου εὐδοκιμηκότας ἐπὶ φιλοσοφίᾳ· Παΐσιον τὸν Λειγαρίτην, ὃν διὰ τὴν ἐνοῦσαν αὐτῷ παιδείαν, ὁ Ἱεροσολύμων Ἀρχιεπίσκοπον Γάζης ἐχειροτόνησεν. Εἶτα δὲ οὐκ οἴδαμεν, ὅπως εἰς Ἰταλίαν ἀφικόμενος καὶ παρεκτραπεὶς, ἔγραψεν ὑπὲρ τοῦ Πρωτείου τοῦ Πάπα, καὶ κατὰ τοῦ ἱεροῦ Φωτίου. Μετὰ δὲ ταῦτα εἰς ἑαυτὸν ἐλθὼν καὶ μεταγνοὺς, ἀπῆλθεν εἰς Μολδαβίαν, καὶ Σχολάρχης ἐν Γιασίῳ ἐχρημάτισεν. Ἐκεῖθεν δὲ μετέβη εἰς Μόσχβαν τῷ 1663 ἔτει, κατὰ πρόσκλησιν τοῦ τότε Πατριαρχοῦντος πάσης Ῥωσσίας Νίκωνος, ὅπου ἐναντίον τῶν ὧν ποτε ἐκ παρατροπῆς ἔγραψε κατὰ, ὑπερασπιστὴς εἰς ἄκρον τῆς Ἀνατολικῆς Ἐκκλησίας ὤφθη, γράψας Λατινιστὶ περί τε τῆς ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, καὶ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, ἔτι δὲ καὶ κατὰ Λουθεροκαλβίνων. Ἐτελεύτησε δ' ἐν Κιαίβῳ ἐν μετανοίᾳ ὀρθοδόξως.

ΙΖʹ. Καὶ ἕτερος ἐκ Χίου Γρηγόριος, μαθητὴς Γεωργίου Κορεσσίου, τοῦ τὴν πατρίδα κἀυτοῦ Χίου, (ἀνδρὸς ἐπὶ τῆς φιλοσοφίας καὶ θεολογίας, καὶ ἐπὶ τῆς ἰατρικῆς μελέτη ἀκριβῆ πεποιημένου) ὅστις μαθήσει διαπρέπων, Πρωτοσύγκελλος τῆς Μ. Ἐκκλησίας ἐγένετο, καὶ συνέγραψε περὶ Μυστηρίων.

ΙΗʹ. Ἐκ δὲ τῶν τοῦ ῥηθέντος Κορεσσίου πηγῶν τὰ τῆς παιδείας ἐσπάσαντο νάματα Κλήμης καὶ Λαυρέντιος οἱ Ἱερομόναχοι, καὶ Νικόλαος ὁ ἱερεὺς, τὸν Ἕλληνα λόγον καὶ τὴν θεολογίαν διδάξαντες.

ΙΘʹ. *Ἱλαρίων* Κιγάλας, Κύπριος τὴν πατρίδα, ἐμαθήτευσεν ἐν Ἐνετίᾳ καὶ Παταβίῳ πᾶσαν ἐπιστήμην, ἐγκρατὴς εἰς ἄκρον γενόμενος τῆς Λατινικῆς γλώσσης. Ἱεροδιάκονος δ' ἔτι ὢν καὶ ἐν Ἱεροσολύμοις πορευθεὶς, συγγράφοντι τότε τῷ Ἱεροσολύμων Πατριάρχῃ Νεκταρίῳ, μετὰ τὴν αὐτοῦ παραίτησιν, κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, ἐγένετο αὐτῷ ἑρμηνεὺς χρήσιμος πολλῶν ῥήσεων καὶ ἀποδείξεων τῶν δυτικῶν Πατέρων. Εἶτα δὲ ἐκλογῇ καὶ ψήφῳ τοῦ τε Κλήρου

καὶ πάντων τῶν αὐτοῦ ὁμοπατρίων προήχθη ἐπὶ τὴν Ἀρχιεπισκοπὴν τῆς Κύπρου. Διὰ δὲ τοπικὰς ὑποθέσεις παραγενόμενον εἰς Κωνςαντινούπολιν, καὶ γράφοντα περὶ τῆς ἀπλανοῦς ἑορτῆς τοῦ Πάσχα, κατέλαβεν αὐτὸν ὁ θάνατος.

Κ′. *Παρθένιος*, Πατριάρχης Κωνσταντινουπόλεως, ὁ πρότερον Μητροπολίτης τῆς νήσου Χίου, ἀνὴρ πεπαιδευμένος, ἐνάρετος καὶ ζήλου ὑπὲρ τῆς εὐσεβείας πνέων. Παρ' αὐτοῦ ἠλπίζοντο πολλὰ τῇ Ἐκκλησίᾳ ὠφέλιμα, ἀλλ' ὁ μισόκαλος Σατὰν οὐδὲ νυστάζει, οὐδὲ ὑπνοῖ. Διεβλήθη γὰρ πρὸς τὸν τότε Σουλτανεύοντα παρὰ τοῦ ἐν Κριμαίᾳ Χάνη τῶν Ταττάρων, ὡς δῆθεν ἐπιστολὰς πέμψας εἰς Ῥωσσίαν καὶ ἕνα τῶν Ἀρχιερέων· συγχρόνως δὲ πίπτει εἰς χεῖρας τοῦ κατὰ τὸν Γαλατᾶν τῆς Πόλεως Ἡγουμένου τῶν Ἰησουϊτῶν καί τις ἐπιστολὴ τοῦ Πατριάρχου πρὸς τὸν Ἡγεμόνα τῆς Βλαχίας, ἐν ᾗ ὁ Πατριάρχης παρακινῶν αὐτὸν εἰς ἀποστολὴν χρηματικῆς βοηθείας ἐπ' οἰκονομίᾳ τῶν ἀναγκῶν τοῦ Πατριαρχείου, πρὸς ταῖς ἄλλαις Εὐαγγελικαῖς ὑποθήκαις ἔγραφε καὶ τὸ «ἔρχεται ἡ βασιλεία τῶν οὐρανῶν, ἐν ᾗ ἐλεηθήσονται οἱ ἐλεήμονες.» Παραυτίκα οὖν ὁ Ἰησουΐτης Ἀββᾶς διαπορθμεύει πρὸς τὸν μέγαν Βεζύρην πλαγίως καὶ ἐμμέσως τὴν ἐπιστολὴν μεθ' ἑρμηνεύσεως τοῦ ῥητοῦ, ὡς δηλοῦντος περὶ τῆς τῶν Ῥώσσων Χριστιανῶν Βασιλείας, ἣν ταχέως περιμένει ὁ ἐπίβουλος Πατριάρχης. Διὰ δὴ ταύτας τὰς δύω διαβολὰς, τὰς ὡς ἐγκλήματα καθοσιώσεως κριθείσας, καταδικάζεται εἰς τὸν τῆς ἀγχόνης ἐπονείδιστον θάνατον, καὶ κρεμᾶται ὁ τρισόλβιος τῷ Σαββάτῳ τοῦ Λαζάρου ἐν ἔτει 1657, καὶ κρεμάμενον ἐν τρισὶν ἡμέραις ῥίπτουσι τελευταῖον ἐν τῇ θαλάσσῃ, ὃν εὑρόντες οἱ Χριστιανοὶ θάπτουσιν ἐν τῇ νήσῳ τῆς Χάλκης, ὅπου καὶ ὁ Λούκαρις κεῖται.

ΚΑ′. Σφραγὶς δὲ τῆς ΙΖ′ ἑκατονταετηρίδος ἐγένοντο ἐκ τοῦ Ἑλληνικοῦ ἱεροῦ Κλήρου καὶ οἱ ἐφεξῆς ἐπὶ μαθήσει, ἀρετῇ καὶ διδασκαλίᾳ διαπρέψαντες ἄνδρες. Ὅ,τε Εὐγένιος ἐξ Ἀκαρνανίας, Χρύσανθος ὁ Ἠπειρώτης, ὁ ἐξ Ἄρτης Ἀθανάσιος, καὶ Γεράσιμος ὁ Ἀκαρνὰν (1). Διέπρεψαν οὖν ἐν ταῖς Σχολαῖς, τοῖς λόγοις τῆς τε θύραθεν καὶ τῆς ἱερᾶς φιλοσοφίας ταύτας καλλύναντες, ὁ μὲν ἐν Ἀκαρνανίᾳ, ὁ δὲ ἐν Μοσχοπόλει καὶ ἐν Ἄρτῃ ὕστερον, ὁ δὲ ἐν Ἄρτῃ ὡσαύτως, ὡς ἀκουστὴς Χρυσάνθου καὶ διάδοχος· ὁ δὲ Γεράσιμος τῆς ἐν Κωνσταντινουπόλει Σχολαρχίας, ἧς μετὰ τὸν σοφὸν Σεβαστὸν τὸν Κυμηνήτην Τραπεζούντιον ἠξίωται. Τούτοις συναριθμεῖται

ΚΒ′. *Διονύσιος*, Πατριάρχης Κωνςαντινουπόλεως, ὁ τοὐπίκλην

(1) Περὶ Γερασίμου τοῦ Ἀκαρνᾶν ἴδ. ἐκτενέστερον ἐν τῇ «Περὶ τῆς Πατριαρχικῆς Σχολῆς» Συγγραφῇ §. 19. (Σημ. Ἐκδ).

Μουσελίμιος, Βυζάντιος τὴν πατρίδα, ἀνὴρ παιδείας ἐγκρατὴς, ἔμπειρος τῶν θείων Γραφῶν, καὶ τῆς Ἐκκλησιαστικῆς εὐταξίας ζηλωτὴς ἔνθερμος. Μετὰ τετάρτην αὐτοῦ Πατριαρχείαν, τὴν πολύπονον θέσιν ταύτην ἄλλῳ παραχωρήσας, μετέβη εἰς Βλαχίαν, κἀκεῖ τελέσας τὸ τοῦ βίου ὑπόλοιπον, ἐκηδεύθη ἐν Τιργοβύστῳ τῷ 1696 ἔτει.

ΚΓ΄. *Βησσαρίων* Ἱερομόναχος ὁ τοὐπίκλην Μακρῆς, ἐξ Ἰωαννίνων κατήγετο. Ἐκ τῶν τοῦ Ἀλεξάνδρου Μαυροκορδάτου πηγῶν, τὰ τῶν ἐπιστημῶν καὐτὸς ἐσπάσατο νάματα. Ἐλθὼν δ᾽ ἐν τῇ πατρίδι αὐτοῦ, Ἀρχιδιδάσκαλος ἐχρημάτισε μετὰ κλέους τῆς ἐκεῖσε Σχολῆς. Ἔγραψεν Ὀρθόδοξον ὁμολογίαν διεξοδικωτάτην, καὶ τεχνολογίαν τῆς Ἑλληνικῆς Γραμματικῆς τέχνης. Ἀπέθανε τῷ 1699 ἔτει.

ΚΔ΄. Ἀρχομένης τῆς ΙΗ΄ ἑκατονταετηρίδος ἤκμαζε Καλλίνικος Πατριάρχης Κωνσταντινουπόλεως ὁ ἐξ Ἀκαρνανίας. Ἦν γὰρ τῶν ἐν παιδείᾳ κατ᾽ ἐκεῖνο τοῦ χρόνου καὶ σπανίᾳ τῇ εὐφραδείᾳ θρυλλουμένων καὶ οὗτος. Οὗτος τοίνυν ἐν ὅσῃ ἐπιμελείᾳ καὶ διεγηγερμένῃ σπουδῇ, τὴν ὑπὸ περιστάσεών τινων, παρεμπεσουσῶν ἐκ τῶν τοῦ καιροῦ τότε δυσχερειῶν, παῦσιν τῆς κατὰ τὸ Φανάριον Πατριαρχικῆς Σχολῆς, ἀποκατεστήσατο ταύτην αὖθις, καὶ τὸν ἱερὸν ἄνθρακα τοῦ θεοδωρήτου φωτὸς τῆς σπουδῆς καὶ μαθήσεως, τὸν ὑπὸ σποδιᾷ, εἰς φῶς ἀνεκαλέσατο (1). Ἰθύνας δὲ τὴν Ἐκκλησίαν ἐπ᾽ ἔτεσιν ὀκτὼ, καὶ νοσήσας θνήσκει, καὶ θάπτεται ἐν τῷ κατὰ τὴν νῆσον Χάλκην Μοναστηρίῳ τῆς Θεοτόκου τῷ 1702 ἔτει.

ΚΕ΄. *Δοσίθεος*, Πατριάρχης Ἱεροσολύμων, ὁ καὶ πολὺς ἐν ἔργοις καὶ λόγοις, τῆς Ἐκκλησίας διάπυρος ὑπερασπιστὴς, τῆς ἀληθείας πρόμαχος καὶ τῆς εὐσεβείας ὤφθη ἀκάματος ἀγωνιστής. Κατήγετο ἐκ Πελοποννήσου· ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας προσῳκειώθη τοῖς Ἱεροσολυμίταις, τῷ Παϊσίῳ Πατριάρχῃ Ἱεροσολύμων ὑπηρετῶν. Τούτου δὲ θανόντος, τοῦ ἐκείνου διαδόχου Νεκταρίου Ἀρχιδιάκονος ἐχρημάτισε, παρ᾽ ᾧ ἐπαιδεύθη ἐς μᾶλλον τὰ τῶν Ἑλληνικῶν μαθημάτων, καὶ ὑπ᾽ αὐτοῦ ἔπειτα Μητροπολίτης Καισαρείας τῆς Φιλίππου ἐχειροτονήθη. Τοῦ Νεκταρίου δὲ παραιτησαμένου τὸν Πατριαρχικὸν Θρόνον, εἰς τοῦτον ἀπὸ Μητροπολίτου ὁ Δοσίθεος μετετέθη. Φιλόπονος δὲ ὢν καὶ φιλομαθὴς, τύπους Ἑλληνικοὺς κατεσκεύασεν ἔν τε Γιασίῳ καὶ Βουκουρεστίῳ, καὶ διάφορα Βιβλία τυπώσας πρὸς ὠφέλειαν τῶν Ὀρθοδόξων ἐξέδωκε δωρεάν. Ἔγραψε Προλεγόμενα εἰς τοὺς τῆς Καταλλαγῆς καὶ Χαρᾶς Τόμους, καὶ τὸ περὶ τῶν ἐν Ἱεροσολύμοις Πατριαρχευσάντων Σύγγραμμα πολύφυλλον, περὶ οὗ κατέ-

(1) Ἰδ. καὶ ἐν τῇ «Περὶ Πατριαρχ. Σχολ.» §. 17. (Σημ. Ἐκδ.)

βαλεν ὁ ἀοίδιμος ἀτρύτους πόνους ἐπὶ συλλογῇ μαρτυριῶν πρὸς ἀνασκευὴν τῶν Παπικῶν σοφισμάτων, μᾶλλον δὲ ἀπὸ τῶν δυτικῶν ἀρχαίων Πατέρων καὶ τῶν νεωτέρων Συγγραφέων, καὶ ὡς μὴ ἐσχηκὼς πεῖραν ἱκανὴν καὶ κατάληψιν τῆς Λατινίδος φωνῆς, δυσκολίᾳ πολλῇ καὶ δαπάνῃ κατὰ διαφόρους καιροὺς δι' ἑρμηνέων, πολλὰς Βίβλους δογματικάς τε καὶ ἱστορικὰς τῶν δυτικῶν αὐτῶν μετέφρασεν, ἐξ ὧν λαμπρῶς καὶ ἐκπεφρασμένως ἐφαπλοῖ πρὸς τοὺς τὴν βίβλον ἀναγινώσκοντας, πρὸς τοῖς ἡμετέροις Πατράσι, καὶ τὰς τῶν δυτικῶν ἀναντιῤῥήτους μαρτυρίας, ἐξελέγχων τό τε ψεῦδος τῶν Παπιστῶν, τὸ κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας κακόηθες αὐτῶν πάθος, τὰς ἐκείνων ἀναιδεῖς καινοτομίας, καὶ τέως τὸ θεοστυγὲς, φρικτόν τ' ἐξιὸν παρ' αὐτοῖς ὡς δόγμα πίστεως φρονούμενον, τὸ μοναρχικὸν, φαμὲν, καὶ ἀναμάρτητον τῶν *Γεφυραίων* (Ποντιφήκων), τῶν διὰ τοιαύτης ἀντιθέου ἀντιδιδασκαλίας τοῦ *Σὺ εἶ Πέτρος*, συκοφαντούντων τὸν Πέτρον, καὶ βιαζόντων σχεδὸν αὐτὸν Θεὸν γενέσθαι, καὶ, φεῦ, Χριστῷ ὁμότιμον, ἵν' οὕτω καὶ ὁ τῆς Ῥώμης αὐτὸς, ὡς διάδοχος δῆθεν Πέτρου, Κεφαλὴ τῆς Ἐκκλησίας καὶ ἀναμάρτητος γεραίρηται καὶ πιστεύηται. Διαδραμὼν δὲ ὁ ἀείμνηστος πάσας σχεδὸν τὰς ὑπὸ τὴν Ὀθωμανικὴν ἀρχὴν τελούσας Πόλεις καὶ Κώμας, πολλοῖς Χριστιανοῖς Ὀρθοδόξοις πρόξενος σωτηρίας ἐγένετο. Διατρίβων οὖν ἐν Κωνσταντινουπόλει καὶ νόσῳ συσχεθεὶς πρὸς Κύριον ἐξεδήμησε τῷ 1707 ἔτει, ἐπὶ διαδόχῳ Χρυσάνθῳ τῷ Καισαρείας Φιλίππου, καὶ ἀνεψιῷ αὐτοῦ, Πατριαρχεύσας ὀκτὼ πρὸς τοῖς τριάκοντα χρόνους.

ΚΣΤ'. *Ἱερεμίας* Ἱερομόναχος, ὁ τοὐπίκλην Κακαβέλας, ἐκ Κρήτης ὁρμώμενος, ἀνὴρ ἐν τοῖς τῆς θεολογίας καὶ φιλοσοφίας λόγοις οὐκ ἄσημος. Διδάσκαλος καὶ Ἱεροκήρυξ τοῦ θείου λόγου τῆς Μ. Ἐκκλησίας ἐχρημάτισεν. Ἦν δὲ τὸ ἦθος χαρίεις καὶ ἀστεῖος, δι' ἧς ἀστειότητος, σκωπτικῆς ἐνίοτε καὶ διδακτικῆς, πολλῶν ἕξεις κακὰς ἐπηνώρθωσε.

ΚΖ. *Γεώργιος* Ἱερεὺς, Σουγδουρῆς τοὐπίκλην, Ἰωαννίτης τὸ γένος. Ἐμαθήτευσεν ἐν Ἐνετίᾳ πᾶσαν ἐπιστήμην, ἐγκρατὴς γενόμενος καὶ τῆς Λατινίδος καὶ τῆς τῶν Ἰταλῶν γλώσσης. Ἐπανελθὼν δὲ εἰς Ἰωάννινα, διδάσκαλος ἐχρημάτισε τῶν Ἑλληνικῶν μαθημάτων καὶ τῶν φιλοσοφικῶν καὶ θεολογικῶν. Διέδωκε διὰ τῶν μαθημάτων τὰ τῆς γνώσεως φῶτα καθ' ὅλην τὴν ὑπὸ τὴν ἐξουσίαν τῶν Ὀθωμανῶν οὖσαν Εὐρώπην. Ἔγραψε Λογικῆς Εἰσαγωγὴν καὶ Συμφωνίαν τῆς τε Παλαιᾶς καὶ Νέας Διαθήκης.

ΚΗ'. *Καλλίνικος* Ἱερομόναχος, ὁ ἐκ τῆς Νήσου Ναξίας, ἀκροατὴς τοῦ Ἀλεξάνδρου καὐτὸς. Ἐφ' ἱκανοὺς χρόνους ἐπὶ τῆς Σχολαρ-

χίας τοῦ ἐν Κωνσταντινουπόλει Πατριαρχικοῦ Φροντιστηρίου διέπρεψεν. Εἶτα δὲ πρὸς ἀμοιβὴν τῶν διδασκαλικῶν αὐτοῦ καμάτων, ἤρθη ἐπὶ τὴν τῆς Ἡρακλείας Μητρόπολιν. (1) Τούτῳ δὲ συνήκμαζον Ἱερόθεος Βυζάντιος ὁ Δρύστρας Μητροπολίτης, καὶ ὁ Καστορίας Ἀρχιερεὺς Διονύσιος ὁ Μαντούκας. Οἱ διὰ τῆς φιλοσοφίας ῥηθέντες τρεῖς, τὴν Ἀρχιερωσύνην σεμνοτέραν καὶ εὐπρεπεστέραν ἀνεδείξαντο.

ΚΘ΄. *Μελέτιος*, Μητροπολίτης Ἀθηνῶν ἐξ Ἰωαννίνων, ἀνὴρ σοφός, πολυμαθής, ῥήτωρ, ἀνιχνευτὴς τοῦ βάθους τῶν θείων Γραφῶν καὶ τῶν θύραθεν φιλοσόφων. Διάσημος Ἱεροκήρυξ καὶ τῆς τῶν Ἀσκληπιαδῶν ἱερᾶς τέχνης ἀμφιλαφῶς ἐχόμενος· εἰδήμων τῆς καθ' Ἕλληνας, τῆς Λατινικῆς τε φωνῆς καὶ Ἰταλικῆς, ὡς ἐν Ἐνετίᾳ καὶ Παταβίῳ ἐκδιδαχθείς. Ἐπανακάμψας δὲ εἰς τὴν πατρίδα αὐτοῦ ἐκ τῆς Ἰταλῶν χώρας, τῆς ἐκεῖσε Σχολῆς ἡγήσατο. Τῶν δ' ἐξ Ἄρτης μετὰ θάνατον τοῦ αὐτῶν Ἀρχιερέως ἐπιπόνως ζητούντων αὐτὸν Ἀρχιερέα παρὰ τοῦ Κωνσταντινουπόλεως, κατ' αἴτησιν τῶν τῆς Ἐπαρχίας ἐκείνης Ὀρθοδόξων, Μητροπολίτης Ναυπάκτου καὶ Ἄρτης προυκεχείριστο. (2) Μετὰ δὲ ταῦτα παραγενόμενος εἰς Κωνσταντινούπολιν, καὶ ἐν αὐτῇ διατρίβων ὡς μέλος τῆς Συνόδου, ἐζητήθη αὖθις διὰ τὰς ἀρετὰς αὐτοῦ παρὰ τῶν Ἀθηναίων. Καὶ δὴ μετατεθεὶς παρὰ τοῦ Πατριάρχου εἰς τὴν τῶν Ἀθηνῶν χηρεύουσαν Μητρόπολιν, καὶ ἀφικόμενος εἰς Ἀθήνας, ἴθυνε τὴν ἐκεῖ Ἐκκλησίαν καὶ ἐποίμανε τὸ τοῦ Χριστοῦ ποίμνιον ἐφ' ὅλοις ἔτεσιν ἕνδεκα. Προσκληθεὶς δὲ πάλιν παρὰ τοῦ Πατριάρχου καὶ τῆς Συνόδου, ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν, ὅπου μετ' ὀλίγον νόσῳ συσχεθείς, πρὸς Κύριον ἐξεδήμησε τῷ 1714 ἔτει. Συνεγράψατο Βίβλον ἀρίστην καὶ πολυμαθεστάτην Ἐκκλησιαστικῆς Ἱστορίας, ἀρχομένην ἀπὸ Γεννήσεως τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ λήγουσαν μέχρι τοῦ 1700 χρόνου. Γεωγραφίαν παλαιάν τε καὶ νέαν, ἐν ᾗ ὑπερτερεῖ πολλῶν Γεωγράφων, διὰ τὰ καθ' Ἑλλάδα τῶν ἀρχαιοτήτων περιγραφόμενα, καὶ ἄλλα ἔτι Συγγράμματα.

Λ΄. *Ἠλίας* Μηνιάτης ὥρμητο ἐκ νήσου Κεφαλληνίας, ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ διδασκάλων. Ἀνὴρ σοφὸς καὶ πολυμαθής, δαήμων τῆς Ἑλληνικῆς, Λατινικῆς καὶ Ἰταλικῆς γλώσσης· ἀνὴρ περὶ φιλοσοφίαν διαπρέπων, πρὸ δὲ πάντων ἐν τῇ Ῥητορικῇ, εὐροίᾳ λόγου καὶ φυσικῇ λαμπρᾷ εὐγλωττίᾳ καὶ χάριτι, καὶ μάλα ἐπὶ διανομῇ τοῦ θείου λόγου ἀπ' Ὀκρίβαντος καταθέλγων τοὺς ἀκροατάς, πάντας τοὺς ἐπ' αὐτοῦ ὑπερηκόντισε. Διδάσκαλος τῶν Ἑλληνικῶν μαθη-

(1) Ἴδ. ἐν τῇ « Περὶ Πατριαρχ. Σχ. » §. 20.
(2) Ἴδ. αὐτόθι §. 37. (Σημ. Ἐκδ.)

μάτων καὶ Ἐπιστημῶν ἔν τε τῇ πατρίδι αὐτοῦ, ἐπανακάμψας Ἐνετίηθεν, Ζακύνθῳ καὶ Κερκύρᾳ ἐχρημάτισε. Παραγενόμενος δὲ μετὰ τοῦ Πρέσβεως τῶν Ἐνετῶν εἰς Κωνσταντινούπολιν, τῇ τῶν διδαχῶν αὐτοῦ εὐφραδείᾳ καὶ χάριτι, φήμην ἦρε παρὰ πᾶσι τοῖς τοῦ ἡμετέρου Γένους Προὔχουσι, καὶ διδάσκαλος καὶ Ἱεροκήρυξ τῆς Μ. Ἐκκλησίας ἀναδείκνυται. Παραιτηθεὶς δὲ τῆς θέσεως ταύτης, ἔρωτι τῷ πρὸς τὴν πατρίδα αὐτοῦ, ἐπανῆλθεν εἰς Κεφαλληνίαν, καὶ ἐκεῖθεν κατὰ πρόσκλησιν μετέβη εἰς τὴν ὑπὸ τῶν Ἐνετῶν ἐξουσιαζομένην τότε Πελοπόννησον, ὅπου τέως πεισθεὶς ταῖς πολλαῖς ἀξιώσεσιν ἐδέχθη τὰς τῆς Ἀρχιερατείας ψήφους, καὶ ἐπὶ τὴν Ἐπισκοπὴν ἤρθη Κερνίκης καὶ Καλαβρύτων. Καταγινόμενος οὖν ἀκαμάτῳ τῇ προθυμίᾳ πρὸς φωτισμὸν καὶ ἠθικὴν μόρφωσιν τοῦ ἐμπιστευθέντος αὐτῷ Ποιμνίου, καὶ ἀσθενήσας ἐξ ἀδυνάτου κράσεως, μετέστη πρὸς Κύριον τῷ 1714 ἔτει, τῷ δὲ τῆς ἡλικίας αὐτοῦ τῷ 45, ὁ ἐπὶ λόγων δεινότητι καὶ Εὐαγγελικῇ εὐγλωττίᾳ διαπρέψας εὐκλεὴς αὐτὸς Ἱεράρχης, ὡς ἐκ τῶν διασωθέντων ἡμῖν μελισταγῶν αὐτοῦ λόγων δῆλον. Συνέγραψε Πέτραν Σκανδάλου, ἤτοι διασάφησιν τῆς ἀρχῆς καὶ αἰτίας τοῦ Σχίσματος, καὶ τῶν πέντε διαφορῶν, καὶ ἄλλα.

ΚΑ'. Ἐφ' οἷς, ἀρχομένης τῆς ΙΗ' ἑκατονταετηρίδος καταλεγέσθωσαν καὶ οἱ ἐφεξῆς δύω· Καισάριος ὁ Πελοποννήσιος, τῆς Μ. Ἐκκλησίας μέγας Πρωτοσύγκελλος, ὁ περὶ τὸ Μαθηματικὸν εἶδος ἐξόχως ἠσκημένος· καὶ Μητροφάνης ὁ Ἱεροδιάκονος, ὃς περὶ τὴν ποιητικὴν τοσοῦτον ἐπετηδεύσατο, ὥστε οὐ πάνυ τι τῶν παλαιῶν ἀποδέεσθαι.

ΛΒ'. *Ἀθανάσιος*, ὁ πρότερον Ἀδριανουπόλεως, καὶ Πατριάρχης εἶτα, κατὰ τὸ 1711 ἔτος, Κωνσταντινουπόλεως, Κρὴς τὴν πατρίδα, ἀνὴρ σοφὸς καὶ ἐνάρετος, ἀκριβῶς εἰδὼς τὴν Ἑλληνικὴν, τὴν Λατινικὴν καὶ αὐτὴν τὴν τῶν Ἀράβων διάλεκτον. Ἀπαλλαγεὶς δὲ τῆς τοιαύτης πολυμόχθου καὶ πολυδείνου Προεδρίας, ἡσύχως καὶ ὁσίως διαβιοὺς ἐτελεύτησεν.

ΛΓ'. Ὁ ἀπὸ τῆς Μητροπόλεως Καισαρείας ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως Θρόνον ἀρθεὶς τῷ 1715 ἔτει, Ἱερεμίας ὁ Γ', τὴν πατρίδα Πάτμιος· ἀνὴρ εὐσεβείᾳ καὶ τρόπων χρηστότητι σεμνυνόμενος, πρός τε τῇ ἄλλῃ μαθήσει καὶ τῆς Ἐκκλησιαστικῆς παιδείας δαημονέστατος, δι' ἧς ἀνιχνεύων τὰ τῶν Ἁγίων Πατέρων Συγγράμματα, τὰς Ἐκκλησιαστικὰς αὐτοῦ διδασκαλίας ἠρανίζετο, διδάσκων τὸν τῆς εὐσεβείας λόγον, καὶ βίον διάγων ἄμεμπτον καὶ θεάρεστον, φύλαξ ἀκριβὴς τῶν ἱερῶν Κανόνων, καὶ οὐδενὶ οὐδὲν πρὸς χάριν ποιῶν. Ἐπὶ τῆς Πατριαρχείας τούτου συνεστήθη ὑπὸ τοῦ Μεγάλου

Πέτρου, καταλυθέντος τοῦ Πατριαρχείου, ἡ Ἱερὰ ἐν Ῥωσσίᾳ Σύνοδος, ἥτις ἀνεγνωρίσθη καὶ ὑπὸ τῶν τεσσάρων Ὀρθοδόξων Πατριαρχῶν. Ὑπὸ δὲ διαβολῶν ἀπομακρυνθεὶς τῆς Πατριαρχικῆς θέσεως τῷ 1726 ἔτει, στέλλεται εἰς τὸ Θεοβάδιστον Σίναιον. Ἐπανακάμψας δ' ἐκεῖθεν, ἀνάγεται τὸ δεύτερον εἰς τὸν Θρόνον τῷ 1732 ἔτει, καὶ ἀσθενήσας ἐτελεύτησε.

ΛΔ'. *Χρύσανθος* ὁ Νοταρᾶς, Πατριάρχης Ἱεροσολύμων, ἐκ Πελοποννήσου ὥρμητο, διαδεχθεὶς τὸν Πατριαρχικὸν τοῦτον Θρόνον, μετὰ θάνατον τοῦ ἐκ μητρὸς Θείου αὐτοῦ ἀοιδίμου Πατριάρχου Ἱεροσολύμων Δοσιθέου. Ἀνὴρ διὰ πάσης ἰδέας λόγων ἐλθὼν, καὶ περὶ τὸ Μαθηματικὸν εἶδος ἐξόχως σπουδάσας. Θεολογίας δὲ μελέτην οὐκ ἀγενῆ πεποιημένος, Ἱεροκήρυξ ἄριστος ἐγένετο τοῦ θείου λόγου. Νέος δ' ἔτι ὢν περιηγήσατο ὅλην τὴν Εὐρώπην, ὅπου καὶ τὴν Λατινικὴν γλῶσσαν ἐδιδάχθη, καὶ τὸ Μαθηματικὸν εἶδος ἠσκήθη. Διαπρέψας δ' ἐπὶ τοῦ θρόνου, ἐφ' ὅλοις ἔτεσι τρισὶ πρὸς τοῖς εἴκοσι, μετέστη τῶν τῇδε φθαρτῶν τῷ 1730 ἔτει. Συνεγράψατο βιβλίον Εἰσαγωγικὸν εἰς Γεωγραφίαν.

ΛΕ'. Καταλεκτέον καὶ τοὺς ἀπὸ Σχολαρχίας ἐν τῇ κατὰ τὴν Βυζαντίδα Πατριαρχικῇ Σχολῇ ἐκ τοῦ Ἱεροῦ Κλήρου μάλιστα διαπρέψαντας κατὰ τὸν ΙΗ' τοῦτον αἰῶνα, περιπατητικοὺς κατὰ φιλοσοφίαν ἅπαντας. Ἀζαρίας ὁ ἐκ Σαντορείνης, Δωρόθεος ὁ ἐκ τῆς Λέσβου, Ναθαναὴλ ἐκ τῆς Χίου, ὁ Ἀγχιάλου γεγονὼς Μητροπολίτης καὶ τῆς Ἐφέσου ὕστερον, Ἀνανίας ὁ Πάριος, Χρύσανθος ὁ ἐξ Αἰτωλίας, Ἰωακεὶμ ὁ Ἀντιπάριος, ὁ γεγονὼς πρότερον Ἀγχιάλου Μητροπολίτης καὶ Κυζίκου ὕστερον, ὁ ἐκ τῆς Σηλυβρίας Ἀρσένιος καὶ Ἀρχιεπίσκοπος Προικοννήσου χρηματίσας, καὶ Ματθαῖος ὁ ἀπὸ Γάνου καὶ Χώρας. (1)

ΛΣΤ'. Καταλεγέσθωσαν ἐφ' οἷς καὶ οἱ ἐν Πάτμῳ τῇ νήσῳ εὐκλεῶς διαπρέψαντες Σχολάρχαι, ἄνδρες ἐνάρετοι· Μακάριος ὁ ἀοίδιμος, Γεράσιμος ὁ ἐκείνου ὁμιλητὴς, καὶ ὁ τούτου διάδοχος Δανιὴλ, ὧν ἀκουσαὶ τῆς δεινότητος τῶν καθ' Ἕλληνας λόγων πλεῖςοι ἐγένοντο.

ΛΖ'. Πρὸς τῇ ἐν Πάτμῳ Σχολῇ, τεθρύλληται ἐνευδοκιμοῦσα καὶ ἡ ἐν Σμύρνῃ τῇ πόλει. Σχολάρχαι δὲ ταύτης ἐπὶ παντοδαπῇ λόγων ἰδέᾳ κλέος ἤραντο, Ἱερόθεος ὁ Ἰθακήσιος, καὶ ὁ τοῦτον διαδεξάμενος Ἰθακήσιος καὐτὸς Χρύσανθος, ὁ διὰ τεσσαράκοντα χρόνων τῆς Σχολῆς ἡγησάμενος, καὶ μνήμην καταλιπὼν τῆς ἐναρέτου αὐτοῦ ζωῆς ἄληστον.

---

(1) Περὶ τούτων ἰδ. « Περὶ τῆς Πατριαρχ. Σχολ. ἀπὸ τοῦ 22. §. καὶ ἐφεξῆς. (Σημ. Ἐκδ.)

ΛΗ'. *Κύριλλος* Ε'. Πατριάρχης Κωνσταντινουπόλεως, Πελοποννήσιος τὴν πατρίδα, ἀνὴρ ἐλλόγιμος καὶ φιλόσοφος, ὅστις κατώρθωσε διὰ προτροπῆς αὐτοῦ θερμῆς, ἔργον ἀξιέπαινον, καθιδρύσας διὰ κοινῆς συνεισφορᾶς ἐν τῷ τοῦ Ἄθωνος Ὄρει τῶν Μουσῶν Γυμνάσιον, ἐν ᾧ διδάσκαλος τῶν τε φιλοσοφικῶν καὶ θεολογικῶν μαθημάτων προσεκλήθη τῷ 1755 ἔτει, ὁ πολὺς τὴν εὐσέβειαν, ἀρετὴν καὶ σοφίαν κλεινὸς Εὐγένιος, ὁ ἐκ Κερκύρας ὁρμώμενος, ὁ μετὰ ταῦτα Ἀρχιεπίσκοπος Σλαβηνίου καὶ Χερσῶνος χρηματίσας. Ὅστις ἀναλαβὼν τὴν Σχολαρχίαν, κατεβάλετο καὶ αὐτόσε, καθὼς περ ἐν Ἠπείρῳ καὶ Μακεδονίᾳ πρότερον, τὰ πρῶτα σπέρματα τῆς ἑπομένως ἐν τῇ Ἑλλάδι εὐτυχεστέρας τῶν Ἐπιστημῶν θεωρίας, μεθερμηνεύσας Ἑλληνιστὶ τοῖς αὐτοῦ Μαθηταῖς τὴν Λογικὴν, Μεταφυσικὴν καὶ τὰ ἄλλα, κατὰ τὰς τότε νεωτέρας θεωρίας. Ταῦτα δὲ διδάσκων, ἐφ' οἷς καὶ τὴν Θεολογίαν, ἐκαλλιέργει τὴν παιδείαν ἐν ταῖς ὀργώσαις τῶν Ἑλλήνων ψυχαῖς, τοὺς μὲν παλαιοτέρους τῶν διδασκάλων τελειοποιῶν ἐπὶ τὸ κρεῖττον, τοὺς δ' ἄλλους πληθύνων πρὸς τὸν τοῦ Ἔθνους φωτισμόν. Διήρκεσε δὲ τὴν τῆς Σχολαρχίας ταύτης Καθέδραν μετὰ κλέους πληρῶν ἐφ' ὅλοις πέντε ἔτεσι. Μετὰ δὲ ταῦτα προσκληθεὶς παρεγένετο εἰς Κωνσταντινούπολιν, καὶ ἀνελάβετο τοῦ Πατριαρχικοῦ Φροντιστηρίου τὴν τῶν ἐπιστημῶν Σχολαρχίαν, ἣν καὶ διέπρεψεν ἐπὶ μαθήσει πολλῶν. Ἀλλ' ἐπὶ ἐκδόσει τῶν αὐτοῦ Συγγραμμάτων τῷ 1764 ἔτει ἀπῆλθεν εἰς Λειψίαν τῆς Σαξωνίας· ἐκεῖθεν δὲ προσκληθεὶς μετέβη εἰς Ῥωσσίαν, καὶ Ἀρχιερεὺς Σλαβηνίου καὶ Χερσῶνος προβέβληται τῷ 1776 ἔτει. Κατὰ δὲ τὸ 1787 παραιτησάμενος, εἰς Πετρούπολιν ἐλθὼν, ἐν τῇ τοῦ ἁγίου Ἀλεξάνδρου Νεύσκη Λαύρᾳ ταῖς καθ' ἡσυχίαν μελέταις αὑτὸν ἀνέθετο· καὶ τῶν ἐκ νεότητος φίλων αὐτοῦ Μουσῶν μὴ ἐπιλαθόμενος, πολλὰ τῶν Συγγραμμάτων αὐτοῦ, ὡς πλοῦτον τῷ Γένει ἡμῶν μέγαν κατέλιπεν. Ἐν βαθείᾳ δὲ τῇ πολιᾷ τῷ 1806 ἔτει, μετατίθεται τὴν ἐπίκηρον τήν δε ζωὴν πρὸς τὴν ἀμείνω καὶ αἰώνιον ὁ ἀοίδιμος.

Ἀλλ' ἀγνοεῖ ὁ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως τῶν ἐκ μόνου τοῦ Ἱερατικοῦ Κλήρου (διότι καὶ ἐκ τῶν Κοσμικῶν Ἑλλήνων πολλοὶ κατά τε φιλολογίαν, φιλοσοφίαν, θεολογίαν καὶ ἄλλας Ἐπιστήμας εἰς ἄκρον ἐληλακότες, τὸν τῆς πολυμαθείας πλοῦτον κατάδηλον ἔστησαν) ἐπ' ἀρετῇ καὶ παιδείᾳ διαπρεψάντων τήν δε τὴν Καταγραφὴν συγγράψας, ἐὰν ἡ κατὰ τὴν διαθήκην τοῦ ἀειμνήστου Εὐγενίου θέλησις αὐτοῦ ἐπληρώθη, καὶ ἐπὶ τῆς πλακὸς τοῦ Τύμβου αὐτοῦ ἐγράφησαν οἱ ὑπ' αὐτοῦ πεποιημένοι ἐφεξῆς Ἐπιτύμβιοι.

Ἧς ὅθεν; ἐκ γῆς· νῦν δ' αὖ, εἰς γῆν ᾠδ' ἐπανῆλθον·
Εἶτ' ἐπαναστρέψας λήψομαι, ἣν ἔλιπον.
Καὶ δὴ, οὐ βροτὸς, ἀλλ' ἑξῆς ἔσομ' ἄμβροτος αἰὲν,
Εὖτε Θεὸς καλέσει, γῆς ἐπανειρόμενος.
Πεύθεαι δὲ γενόμην; σαυτῷ τί τόδ' ἄρα μελήσει;
Ὡς Σύ τε τοῖος ἔσῃ, τουτὶ μέλημ' ἐχέμεν.

ΛΘ. *Νεόφυτος* Ἱεροδιάκονος τὴν ἀξίαν, Πελοποννήσιος τὴν πατρίδα, ἀνὴρ τῆς Ἑλληνικῆς παιδείας καὶ φιλολογίας ἐγκρατέστατος, ὃς καὶ συνεργάτης καὶ διδάσκαλος τῶν Μαθημάτων ἐν τῇ Ἀθωνιάδι Σχολῇ μετὰ τοῦ ἀοιδίμου Εὐγενίου ἐχρημάτισε. Διὰ δὲ τινὰς δυσαρεσκείας παραιτηθεὶς τῆς διδασκαλίας, εἰς Βουκουρέστιον τῆς Βλαχίας μετέβη, ὅπου ἐφ' ἱκανοῖς ἔτεσι Σχολαρχήσαντα κατέλαβεν αὐτὸν ὁ θάνατος. Συνέγραψε Γραμματικὴν πολύφυλλον, καὶ Πολιτικούς τινας μὲν νόμους, ἀλλὰ διὰ τὸν αὐτοῦ θάνατον ἀτελεῖς παραλειφθέντας.

Μ. *Καλλίνικος* Δ', Πατριάρχης Κωνσταντινουπόλεως, Θετταλὸς τὴν πατρίδα, ἀνὴρ ἐγκρατὴς τῆς Ἑλληνικῆς παιδείας καὶ τὸν τρόπον χρηστὸς καὶ ἐκκλησιαστικώτατος. Παραιτηθεὶς δὲ τοῦ Θρόνου τῷ 1757 ἔτει, ἀπῆλθεν εἰς τὴν κατὰ τὸ Πήλιον Ὄρος Ζαγορὰν τὴν ἑαυτοῦ πατρίδα, ὅπου διετέλεσε τὸ τοῦ βίου αὐτοῦ ὑπόλοιπον, φιλολογῶν καὶ ταῖς θείαις Γραφαῖς ἐμμελετῶν. Συνέγραψε διάφορα καὶ Ἐκκλησιαστικὰ καὶ Ἱστορικά.

ΜΑ'. *Σαμουὴλ* Α', (1) ὁ κλεινότατος καὶ περικλεέστατος, Βυζάντιος τὴν πατρίδα καὶ ἐκ τῶν Ἐπιφανῶν, κατ' ἐκλογὴν καὶ ψῆφον κοινὴν τῆς τε Συνόδου καὶ τοῦ Γένους, ἄκων καὶ ἀντιφάσκων, ἀπὸ τῆς Μητροπόλεως Δέρκων ἤρθη ἐπὶ τὴν περιωπὴν τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου τῷ 1763 ἔτει κατὰ Μάϊον. Ἀνὴρ τῇ τε θύραθεν καὶ τῇ Ἐκκλησιαστικῇ πλήρει παιδείᾳ, τῇ τοῦ λαμπροῦ νοὸς ἀγχινοίᾳ, ὀξύτητι καὶ πολιτικῇ ἐμπειρίᾳ καὶ δεξιότητι, πρὸς διαχείρισιν πραγμάτων, πάντας τοὺς κατὰ τὸν αἰῶνα αὐτοῦ τῶν ἡμετέρων διενεγκών. Ὅστις δέδωκε μορφὴν καὶ εἶδος (τὸ διαρκοῦν μέχρι τούτου) τῇ ἀνωμάλῳ καταστάσει τῶν τοῦ Κοινοῦ τῆς Μ. Ἐκκλησίας πραγμάτων, καὶ διεπράξατο εὐκλεῶς πολλὰ ἐπίκροτα καὶ ἀξιομνημόνευτα, τιμήσας ἐπὶ πολὺ τοὺς πεπαιδευμένους ἄνδρας, καὶ μᾶλλον τοὺς περὶ τὴν ἔσω καὶ ἔξω μάθησιν κλεϊζομένους δύω, τόν τε Εὐγένιον καὶ Νικηφόρον τὸν Θεοτόκην, τοὺς ἐν Κωνσταντινουπόλει τότε διατρίβοντας, οὓς, καὶ κατὰ τὴν θερμὴν ἔφεσιν τοῦ μετὰ ταῦτα γενομένου Πρίγκιπος τῆς Μολδαβίας, Διερμηνέως τότε

(1) Περὶ Σαμουὴλ καὶ Εὐγενίου τοῦ Βουλγάρεως ἴδ. καὶ ἐν τῇ « Περὶ τῆς Πατριαρχ. Σχολῆς. » Συγγραφῇ. §. 27. Σημ. Ἐκδ.

τελοῦντος τῆς τῶν Ὀθωμανῶν Βασιλείας Γρηγορίου Γκίκα, ἀνδρὸς φιλομαθοῦς καὶ προστάτου τῶν Σοφῶν, ἐπόθουν ἀμφότεροι μὲν ἀναγαγεῖν εἰς τὸν τῆς Ἀρχιερατείας ὑψηλὸν βαθμὸν, καὶ μέλη τῆς Συνόδου ἀναδεῖξαι, ἀλλ' οἱ ἀοίδιμοι ἐπιθυμίᾳ κρείττονι φλογιζόμενοι ἐπὶ τῷ ἰδεῖν τὰ λευκὰ φῦλα τῶν ἀρειμανίων Γερμανῶν, καὶ ἐκδοῦναι αὐτοπροσώπως τὰ τοσαῦτα κοινωφελῆ αὐτῶν Συγγράμματα, χαίρειν φράσαντες καὶ ὑπερόγους ἀξίας καὶ τὰ τοῦ Βοσπόρου τερπνὰ, ὁδὸν προείλοντο μακρὰν καὶ ἐπίπονον, καὶ ἐπὶ τῆς κατὰ Λειψίαν τῆς Σαξωνίας ξένης ἀλητεύειν ἐφ' ἱκανοὺς χρόνους προείλοντο. Ὁ δὲ κλεινὸς Σαμουὴλ ἀπαυδήσας τέως, ἐπόθει τῆς ἀπαλλαγῆς τῶν πολυωδύνων φροντίδων, καὶ τῆς ἡσυχίας· ἀλλ' ὁ πρὸς τοιούτους εἰσηγητὰς τῆς τάξεως καὶ κοινωφελεῖς ἄνδρας φθόνος τῶν χαιρεκάκων, ἀπέπεμψεν αὐτὸν εἰς τὸ ὄρος τοῦ Ἄθωνος, καὶ ὁ Λαρίσσης Μητροπολίτης Μελέτιος αὐτὸν διαδέχεται τῷ 1768 ἔτει. Ἐπανακάμψας δ' ἐκεῖθεν μετὰ διετίαν, διέτριβεν ἡσυχάζων ἐν τῷ κατὰ τὸν Βόσπορον χωρίῳ τῶν Θεραπείων. Βουλόμενοι δ' οἱ τῆς Συνόδου Ἀρχιερεῖς τῷ 1773 ἔτει, ἀντὶ τοῦ παραιτηθέντος Πατριάρχου τότε Θεοδοσίου, ἄλλον ἐκλέξαι, ἀποτόμῳ φωνῇ τοῦ τότε Σουλτανεύοντος ἤκουσαν, « τὸν Σαμουὴλ ἀφεύκτως, καὶ οὐκ ἄλλον, » ὡς εἰδότος τὸν ἄνδρα ἐκ τῶν ὧν καλῶν ἐπράξατο ἐπὶ τῆς αὐτοῦ Πατριαρχείας. Διὸ καὶ κρυβέντα μόλις εὑρίσκουσιν οἱ Ἀρχιερεῖς, καὶ ἑλκόμενον καὶ ἀγόμενον, ἀνάγουσιν εἰς τὸν Πατριαρχικὸν Θρόνον τὸ δεύτερον. Ἀλλὰ γέρων, καὶ λιθιάσει πάσχων, τῷ 1774 ἔτει, μεθ' ἕνα χρόνον, ἀπαμφιασθεὶς τὸν τοιαύτης βαρυτάτης αὐτῷ ἀξίας μανδύαν, μεταβαίνει εἰς τὴν κατὰ τὴν Προποντίδα ἐγγὺς τοῦ Βυζαντίου νῆσον τῆς Χάλκης, ἔνθα αὐξηθέντος τοῦ τῆς λιθιάσεως αὐτοῦ πάθους, τὸ φθαρτὸν ἐναπέθετο σκῆνος ὁ λαμπρὸς οὗτος ἀπὸ τοῦ βίου καὶ τῶν πραγμάτων ἱεράρχης τῷ 1775 ἔτει. Ἐπὶ δὲ τῆς Πλακὸς τοῦ ἐν τῷ Ναῷ τοῦ Ἁγίου Νικολάου τοῦ χωρίου τῆς νήσου Χάλκης τάφου αὐτοῦ, ὁρῶνται γεγραμμένοι οἱ ἐπιτύμβιοι οὗτοι.

Μνῆμα τόδ' ἀείμνηστον ἔχει κλέος, ὅττι Σαμουὴλ
Σῶμα φέρειν ἱερὸν εὔχεται εὐκλεέως·
Φωσφόρος ὃς ζωοῖσι καὶ ἕσπερος ἐν φθιμένοισι,
Μνημοσύνῃ Σοφίης ἔνδικα φρυκτορέει.
Τοῖον δ' ἡμετέρη γενεὴ μέγαν ὀψέποτ' εἶδε
Κοίρανον Ἀρχιθυτῶν, φέρτατον ἐλλογίμων·
Εὖ μάλα ἧς πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι,
Πεπνυμένον τ' ἀρεταῖς, τλησίπονον καμάτοις·
Ἴρῆς τε κλισίης μέγ' ὄνειαρ, ἄεισμά τε πιστῶν.
Ὄλβια πάντ' ἔλαχεν, καὶ φθόνον οὐ φέρεται.

ΑΨΟΕ. Μαΐου Ι'.

ΜΒʹ. *Νικηφόρος ὁ Θεοτόκης*, ὁ τοῦ Κλεινοῦ Εὐγενίου ὁμοπάτριος, καὶ τούτου εἰς τὴν Ἐπισκοπὴν ἐν Ῥωσσίᾳ διάδοχος· ἀνὴρ καὐτὸς τῶν φιλοσοφικῶν, θεολογικῶν καὶ τοῦ εἴδους τῶν μαθηματικῶν εἰς ἄκρον ἐληλακώς· δαήμων καὶ οὗτος καὶ τῆς Λατινικῆς, Ἰταλικῆς, Γαλλικῆς καὶ αὐτῆς τῆς Ῥωσσικῆς γλώσσης εἶτα, καὶ συλλήβδην οὐκ ἀμυδρὸν ἄστρον παιδείας ἐντελοῦς καὶ ἀρετῆς ἐν τοῖς ἡμετέροις ἀπέστιλβεν. Ὅτε δὲ ἐν Κωνσταντινουπόλει τῷ 1766 ἔτει τὰς διατριβὰς ἐποιεῖτο, φιλοφρονούμενος ἐν τῇ οἰκίᾳ τοῦ ῥηθέντος Διερμηνέως Γρηγορίου Γκίκα, εὗρεν ἐν μεμβράναις ἀρχαίαις γεγραμμένους πάντας τοὺς τῆς Παλαιᾶς θείας Γραφῆς ὑπομνηματιστὰς Πατέρας εἴς τε τὴν Γένεσιν, τὴν Ἔξοδον, τὴν λοιπὴν Πεντάτευχον, τὰ τοῦ Ἰησοῦ υἱοῦ Ναυῆ, τοὺς Κριτὰς, τὴν Ῥοὺθ καὶ τὰ τῶν Βασιλειῶν. Τούτους δὲ τοὺς δερματίνους Κώδικας ἀρχαίους, οὓς ἔντισι Βιβλιοθήκαις τῶν εὐγενῶν Φαναριωτῶν εὗρε, παραβαλὼν πρὸς ἀλλήλους καὶ πυκνότερον ἐγκύψας, πολὺν κατεβάλετο πόνον ὁ ἀοίδιμος καὶ χρόνον κατηνάλωσεν ἐπί τε συμφωνίᾳ καὶ συναπαρτισμῷ πρὸς τὸ τελειότερον. Δι' ἰδίας δὲ χειρὸς καὶ πολυπόνου ὅλην τὴν Σειρὰν τῶν Ὑπομνηματιστῶν ἀντιγράψας, καὶ τὰ ἐκ παραδρομῆς καὶ ἐξ ἀμαθείας προδηλότατα σφάλματα ἐπιδιορθώσας, οὕτω τὰ τῶν Ὑπομνηματιστῶν ἄχρις ἐκείνου ἀφανῆ καὶ δυσέντευκτα, ἀνέκδοτα καὶ τυχὸν ἀνεύρετα, ἐμφανῆ ἐν Λειψίᾳ τῆς Σαξωνίας κατὰ τὸ 1772 ἔτος διὰ τύπου πεποίηκε « *Σειρὰν ἑνὸς καὶ Πεντήκοντα Ὑπομνηματιστῶν εἰς τὴν Ὀκτάτευχον καὶ τὰ τῶν Βασιλειῶν*, » τὴν Βίβλον καλέσας. Τῶν δὲ περὶ τὴν ἔκδοσιν αὐτουργὸς καὶ πάροχος ἐγένετο αὐτὸς ἐκεῖνος ὁ φιλόμουσος καὶ πανευκλεὴς Ἡγεμὼν Βλαχίας μὲν πρότερον, Γρηγόριος Γκίκας, εἶτα δὲ τῷ 1774 ἔτει καὶ Μολδαβίας· ἐπὶ δὲ ταύτης τῆς αὐτοῦ Ἡγεμονίας τέλει τοῦ βίου ἐξ ὠμότητος ἐχρήσατο οἰκτρῷ, καὶ ἥκιστα τῇ τοῦ ἀνδρὸς ἀρετῇ πρέποντι, κατὰ τὸ 1777 ἔτος· Ὁ δὲ κλεινὸς Νικηφόρος, τῇ τοῦ ἀειμνήστου Εὐγενίου συστάσει, ὡς ἀξιοχρέου ἀνδρὸς, προσκληθεὶς εἰς Ῥωσσίαν, διεδέχθη τὴν Ἐπισκοπὴν αὐτοῦ, Πολταβίας Ἀρχιερεὺς ἐπονομασθεὶς, τὴν ὕστερον Αἰκατερινοσλαβίας Ἀρχιεπισκοπὴν κληθεῖσαν, ἀφ' ἧς εἶτα εἰς τὴν τοῦ Ἀστραχανίου Ἀρχιεπισκοπὴν μετετέθη. Ἐν δὲ ταύτῃ, ὡς ῥήτωρ ἀμφιδέξιος, τῇ διδασκαλίᾳ τῶν λόγων αὐτοῦ Ῥωσσιστὶ, πολλοὺς τῶν Σχισματικῶν ἐπὶ τὸ εὐσεβὲς ὀρθὸν φρόνημα ἐπανεκαλέσατο. Παραιτηθεὶς δὲ μετά τινας χρόνους, ἐλθὼν κατῴκησεν ἐν Μόσχβᾳ, ὅπου τὴν ἡσυχαστικὴν ἑλόμενος διαγωγὴν, οὐκ ἐπαύσατο πονῶν καὶ συγγράφων καθ' ὅλον τὸ τῆς ζωῆς αὐτοῦ ὑπόλοιπον. Πρὸς δὲ τοῖς ἄλλοις, τὸ ἀξιολογώτερον, ὡς ψυχοσωτήριον, τῶν αὐτοῦ Πονημάτων ἐστὶ τὸ Κυριακοδρόμιον, καὶ

αἱ ἠθικώταται ἐν αὐτῷ Ἑρμηνεῖαι τῶν εἰς πᾶσαν Κυριακὴν ὅλου τοῦ Ἐνιαυτοῦ ἀναγινωσκομένων Εὐαγγελίων, τῶν τε Πράξεων καὶ τῶν τοῦ Παύλου Ἐπιστολῶν, πνευματικῆς χάριτος μεσταί, τὴν ἐν λόγοις δύναμιν τοῦ ἀνδρὸς μαρτυρούμεναι καὶ ὠφέλειαν καὶ σωτηρίαν τοῖς προσέχουσι προχέουσαι. Κατέλαβε δὲ τὸ τοῦ βίου μακάριον πέρας τὸν σοφίας πλήρη, Μουσῶν ἡγέτην καὶ εὐκλεῆ αὐτὸν Ἱεράρχην τῆς Ἐκκλησίας, πρὸ τοῦ θανάτου τοῦ διὰ τῶν Συγγραμμάτων ἀεὶ ζῶντος Εὐγενίου, τοῦ τὴν τελευτὴν τοῦ ὁμοπατρίου, φίλου καὶ συναδέλφου ἐν Χριστῷ ἐπὶ μέγα πενθήσαντος.

ΜΓ΄. *Ἐφραίμ*, Πατριάρχης Ἱεροσολύμων, ἐξ Ἀθηνῶν ὁρμώμενος ἀνὴρ ἐνάρετος, δεινὸς περὶ τὴν μελέτην τῶν θείων Γραφῶν καὶ περὶ τὴν ῥητορικὴν καὶ θεολογίαν εὐδοκιμώτατος, Διδάσκαλος τῶν Ἑλληνικῶν μαθημάτων πρότερον καὶ Ἱεροκήρυξ ἐν Κύπρῳ τῇ νήσῳ ἐχρημάτισεν. Εἶτα εἰς Ἱερουσαλὴμ ἀφικόμενος, διὰ τὴν παιδείαν αὐτοῦ Βηθλεὲμ Ἀρχιερεὺς κεχειροτόνηται, καὶ τῷ 1767 ἔτει μετὰ θάνατον τοῦ Ἱεροσολύμων Παρθενίου, αὐτὸν διαδέχεται. Ἐπ' ὀλίγον δὲ βιοὺς, θνήσκει τῷ 1769 ἔτει.

ΜΔ΄. *Σωφρόνιος*, ὁ ἀπὸ τοῦ Ἱεροσολύμων Θρόνου (μετὰ θάνατον τοῦ Ἐφραὶμ γενόμενος διάδοχος;) ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως μετατεθεὶς τῷ 1774 ἔτει, μετὰ τὸν κλεινότατον Σαμουήλ, ἐκ Συρίας κατήγετο. Διὸ καὶ οὐ μόνον ἐγκρατὴς ἦν, ἀλλὰ καὶ δεινὸς περί τε τὴν Ἀραβικὴν καὶ αὐτὴν τὴν Ὀθωμανικὴν γλῶσσαν· τὸν δὲ καθ' Ἕλληνας λόγον ἐν Πάτμῳ τῇ νήσῳ ἐμαθητεύσατο. Ἀνὴρ ἐνάρετος, ἀκτήμων, ἀπέριττος καὶ βίου ὁσιότητι καὶ λιτότητι σεμνυνόμενος. Διέπρεψε δὲ ἐπὶ τῇ διανομῇ τοῦ θείου λόγου διδάσκων καὶ νουθετῶν, διὰ τῶν ἠθικωτάτων αὐτοῦ διδασκαλιῶν, τὸν λαὸν καθ' ἑκάστην Κυριακὴν, διὸ καὶ συνέτρεχον ἐπ' ἀκροάσει αὐτοῦ παμπληθεί. Γέρων δὲ ὢν καὶ συσχεθεὶς κακοήθει πυρετῷ, τελευτᾷ τῷ 1780 ἔτει. Συῤῥεύσαντος δ' εἰς τὴν θανὴν τοῦ ἐναρέτου καὶ διδακτικοῦ Πατριάρχου τοῦ πλήθους τῶν Ὀρθοδόξων, κηδεύεται ὁσίως ἐν τῷ κατὰ τὸ χωρίον τοῦ Βοσπόρου Ἑστιῶν ποτε καὶ Ἀνάπλου (μέγα πανῦν Ῥεύματος) Ναῷ τῶν Ταξιαρχῶν.

ΜΕ΄. *Κυπριανός*, Πατριάρχης Ἀλεξανδρείας, τὴν πατρίδα Κύπριος. Διήκουσεν ἐν τῇ Ἀθωνιάδι Σχολῇ, Ἱεροδιάκονος ὢν, τοῦ σοφοῦ Εὐγενίου, ἐνευδοκιμήσας ἔν τε τοῖς φιλοσοφικοῖς ἐξίσου καὶ θεολογικοῖς μαθήμασι. Μὴ πληρωθείσης δὲ τῆς ἐφέσεως τῶν Κυπρίων, καὶ ἀποτυχὼν τῆς Κύπρου Ἀρχιεπισκοπῆς, ἤρθη ἐπὶ τὸν Θρόνον τῶν Ἀλεξανδρέων τῷ 1766 ἔτει. Εὐλαβείᾳ δὲ τῇ πρὸς αὐτὸν πάντων τῶν κατ' Αἴγυπτον Ὀρθοδόξων, καὶ αὐτῶν τῶν ἑτεροδόξων, διέπρεψεν ἐφ' ὅλοις ὀκτὼ πρὸς τοῖς δέκα ἔτεσιν ἰθύνων τὴν Ἐκκλη-

σίαν ἐκείνην. Τῷ δὲ 1784 ἔτει παραιτηθεὶς διὰ γῆρας καὶ ἀσθένειαν καὶ ἐπ' ὀλίγον διαβιοὺς, ἐξεδήμησε πρὸς Κύριον.

ΜΣΤ'. *Κύριλλος*, (1) Ἀρχιεπίσκοπος τοῦ Θεοβαδίστου Ὄρους Σινᾶ, Κρὴς τὴν πατρίδα, ὅστις ἐκ νεότητος φέρων ἑαυτὸν τῇ τῶν ἐν Σιναίῳ τῷ Ὄρει ἐνασκουμένων Συσκηνίᾳ συγκατέλεξεν. Ἀνὴρ οὐχ ὅπως ἐν λόγοις Ἑλληνικῆς παιδείας, ἀλλὰ καὶ ἐν τῇ πολλῇ μελέτῃ τῶν τε θείων Γραφῶν καὶ τῶν Πατέρων ὤφθη διάσημος. Διέπρεψεν ἐπὶ διανομῇ τοῦ θείου λόγου διὰ τῶν διδαχῶν αὐτοῦ· διέδραμεν ἀπὸ τοῦ 1770 μέχρι τοῦ 1777 ἔτους διαφόρους τόπους, πολλὰς Βασιλείας τῆς Εὐρώπης περιῆλθε, καὶ πολλοὺς τῶν ἐκεῖσε παροικούντων Ὀρθοδόξων Γραικῶν, τῷ δσιοπρεπεῖ σεβασμίῳ αὐτοῦ παραστήματι, καὶ πειθοῖ καὶ χάριτι τῶν λόγων καὶ διδασκαλιῶν ἐστήριξεν, ὡδήγησε καὶ ψυχικοῦ θανάτου ἐρύσατο. Ἐλθὼν δ' εἰς Κωνσταντινούπολιν τῷ 1782 ἔτει ἐξ Αἰγύπτου, καὶ ἐκ ταύτης κατὰ τὸ 1787 ἔτος μεταβὰς μετὰ Ἀλεξάνδρου Ὑψηλάντου, Πρίγκιπος τότε καὶ Μολδαβίας, εἰς Γιάσι, ἐπ' ἐπισκέψει τῶν ἐκεῖσε Μοναστηρίων ἐξαρτωμένων τοῦ Σινᾶ, ὅπου ἀσθενήσας ὑπ' ὀξυτάτου πυρετοῦ, εἰς τὴν οὐράνιον πατρίδα μετατίθεται τῷ 1790 ἔτει, κηδευθεὶς μεθ' ὅσης Ἐκκλησιαστικῆς παρατάξεως παρὰ τοῦ μακαρίτου Ἀρχιεπισκόπου Αἰκατερινοσλαβίας Ἀμβροσίου, τοῦ τὸν περικλεῆ μακαρίᾳ τῇ λήξει Πρίγκιπα καὶ Ἀρχιστράτηγον Γρηγόριον Ποτέμκην ἐπὶ τῆς τηνικαῦτα ἐκστρατείας συνοδεύοντος.

ΜΖ'. *Γεράσιμος*, ὁ ἀπὸ Μητροπολίτης πρότερον Βυζύης, καὶ εἶτα Δέρκων, Πατριάρχης Κωνσταντινουπόλεως, Κύπριος καὐτὸς τὴν πατρίδα. Ἀνὴρ ἐνάρετος, Ἑλληνικῆς μὲν καὶ Ἐκκλησιαστικῆς παιδείας ἐγκρατὴς εἰς ἄκρον, ἀλλὰ Σχολαστικὸς καὶ γόνος, ὡς εἰπεῖν, ὕστατος τῆς ἐν Βυζαντίῳ Σχολῆς τῶν Περιπατητικῶν, τῆς τοῦ Ἀριστοτέλους φωνῆς σφόδρα ἐξηρτημένος, οὐδόλως, προλήψει γεγηρακείᾳ, προσιέμενος τὰ κατὰ τὸ ἐκλεκτικὸν τοῦ φιλοσοφεῖν εἶδος προβαλλόμενα, ὡς νεωτέρας φρενὸς ταῦτα γεννήματα. Ἀλλ' ὑπερῆλιξ καὶ ἀσθενὴς μετὰ Ποιμαντορίαν τριῶν ἐτῶν, τῷ 1797 ἔτει παραιτησάμενος, ἐν τῷ κατὰ τὸν Βόσπορον οἴκῳ αὐτοῦ πρὸς Κύριον μεθίσταται.

ΜΗ'. *Ἄνθιμος*, Πατριάρχης Ἱεροσολύμων, ἐκ Συρίας καταγόμενος, ὅστις ἐξ ἁπαλῶν ὀνύχων προσελθὼν τοῖς τοῦ Ἁγίου Τάφου Μονασταῖς ἐν Ἱερουσαλὴμ, ἐξεπαιδεύθη παρ' αὐτῶν ἔντε τοῖς ἐγκυκλίοις καὶ τοῖς ἱεροῖς μαθήμασι, καὶ πλέον ἑαυτὸν τῇ τε τῶν ἱερῶν

(1) Οὗτός ἐστιν ὁ πρὸς πατρὸς Θεῖος τοῦ ἀοιδίμου Κωνσταντίου. (Ἴδ. ἐν τῇ Βιογραφίᾳ σελ. 1.) Σημ. Ἐκδ.

Γραφῶν καὶ τῶν Συγγραμμάτων τῶν θείων Πατέρων μελέτῃ ἐξήσκησε. Βαθμηδὸν δὲ διά τε τὴν ὁσιότητα τοῦ αὐτοῦ βίου καὶ τὴν παιδείαν Ἀρχιερεὺς Καισαρείας τῆς Φιλίππου τοῦ Θρόνου ἐκείνου προχειρίζεται. Μετὰ δὲ τὴν τελευτὴν τοῦ Ἱεροσολύμων Δοσιθέου τῷ 1789 ἔτει, προβιβασθεὶς Πατριάρχης κοινῇ ἐκλογῇ καὶ ψήφῳ τῆς ἐν Ἱεροσολύμοις Συνόδου, τὴν ὑψηλὴν ὑπουργίαν ἐκείνου διαδέχεται. Ἐκάλλυνε δὲ τὸν Πατριαρχικὸν Θρόνον τῇ τε διδασκαλίᾳ, ζήλῳ ὑπὲρ τῆς εὐσεβείας, πραότητι ζωῆς καὶ ἁγιότητι, καὶ τῇ οὐρανίῳ ἀρετῇ τῆς φιλοπτωχείας ἐφ' ὅλοις ἔτεσι δεκαοκτώ· μετέβη πρὸς Κύριον τῷ 1807 ἔτει. Δεινὸς δὲ ὢν καὶ τῆς Ἀραβικῆς, πολλοὺς τῶν θείων Πατέρων πρὸς ὠφέλειαν πνευματικὴν τῶν ἐν Συρίᾳ καὶ Παλαιστίνῃ εὐσεβῶν ἀραβιστὶ διηρμήνευσιν.

ΜΘ'. *Ἀνθέμιος*, Πατριαρχης Ἀντιοχείας, ἀδελφιδοῦς τοῦ ῥηθέντος Πατριάρχου Γερασίμου. Ἀνὴρ παιδείας τρόφιμος, καὶ παντοδαπῇ λόγων ἰδέᾳ κοσμούμενος, ἐν Παταβίῳ ἐκδιδαχθείς. Εἰς Δαμασκὸν δ' ἀφικόμενος τῷ 1805 ἔτει πολλὰ ὑπέστη καὐτὸς, ὡς καὶ οἱ αὐτοῦ προκάτοχοι, κατὰ τῶν Παπιζόντων ἀγωνιζόμενος. Νόσῳ δὲ συσχεθεὶς, τὸν βίον τῷ 1812 ἔτει ἐν Δαμασκῷ κατέλυσεν.

Ν'. *Ἀθανάσιος* Πάριος, Ἱερομόναχος τὴν ἀξίαν, ἀνὴρ ἀρεταῖς τε καὶ λόγοις ἐπίσημος. Διέπρεψεν ἐφ' ὅλοις εἴκοσι χρόνοις ἐν Χίῳ τῇ νήσῳ Σχολαρχῶν. Πρὸς δὲ τῇ διδασκαλίᾳ, τῇ τε μελέτῃ καὶ συγγραφῇ ἐνασχολούμενος, ἐξέδωκε Θεολογικὸν, καὶ βίβλον Ῥητορικῆς τέχνης κατ' ἔκτασιν. Μετέστη δὲ ὁσίως τοῦ βίου τῷ 1817 ἔτει.

ΝΑ'. *Γρηγόριος* Ε', ἐκ Πελοποννήσου, τρὶς ἀναρρηθεὶς Πατριάρχης Κωνσταντινουπόλεως, κατά τε τὸ 1797, τὸ 1806 ἔτος καὶ τὸ 1819 τὸ ἔσχατον καὶ τελευταῖον. (1) Ἀνὴρ βίου μὲν σεμνοτάτου, ἀπερίττου καὶ ἀκτήμονος, εὐλαβὴς περὶ τὰ Ἐκκλησιαστικὰ θερμότατος, ἔμπειρος τῶν θείων Γραφῶν καὶ τῆς Ἑλληνικῆς παιδείας τρόφιμος· ἀλλ' ἤθους αὐστηροῦ, ἰδιοτρόπου, ὀξυτάτου καὶ ῥαγδαίου περὶ τὴν τῶν Ἐκκλησιαστικῶν πραγμάτων εὐταξίαν καὶ κοσμιότητα. Ἐν πᾶσι δὲ τούτοις τοῖς κατὰ τὸ ἦθος αὐστηρότησι, διὰ τὴν μοναστικὴν αὐτοῦ διαγωγὴν καὶ τὴν ἀρετὴν σεβαστὸς ἦν παρὰ πᾶσι καὶ αἰδέσιμος. Ὁποίῳ δὲ τέλει ἐχρήσατο τέως κατὰ πολλὰ ἀθλητικῷ ὁ Τρισόλβιος, πᾶσι δῆλον.

ΝΒ'. *Δωρόθεος* ὁ Πρῶτος Μητροπολίτης Ἀδριανουπόλεως, Χῖος τὴν πατρίδα, ὅς τις ἀποχρώντως συγκεκροτημένος ὢν τοῖς τε καθ' Ἕλληνας καὶ τοῖς ἱεροῖς λόγοις καὶ μαθήμασιν, εἰς Εὐρώπην ἀφι-

(1) Ἰδ. ἐν τῷ Παραρτήμ. τὴν πρὸς αὐτὸν σταλεῖσαν ἐκ Σμύρνης ἐπιστολὴν τοῦ ἀοιδίμου Κωνσταντίνου μεγάλου Οἰκονόμου τοῦ ἐξ Οἰκονόμων. Σημ. Ἐκδ.

κετο, καὶ τοῖς ἐκεῖσε Παιδευτηρίοις ἑαυτὸν ἐνήσκησε, καὶ τῶν κατὰ φιλοσοφίαν ποικίλων δογμάτων τὸ ἐκλεκτικὸν προτιμότερον ἡγήσατο. Οὕτω δὴ τοῖς ἀληθέστερον φιλοσοφουμένοις, καὶ τῷ ἐπιστημονικῷ δ' ἔτι εἴδει ἐφοδιασθείς, ἐπανέκαμψεν ἐκεῖθεν. Κατὰ δὲ πρόσκλησιν ἐλθὼν εἰς Βυζάντιον, τὴν ἐν τῇ κατὰ τὴν Ξηρὰν Κρήνην Πατριαρχικῇ Σχολῇ, τῇ ἀποβλάστημα ταύτῃ οὔσῃ τῆς κατὰ τὸ Φανάριον ἀρχαίας Σχολῆς, φιλόσοφον Καθέδραν διά τινων χρόνων ἐκόσμησε, καὶ τέως ὡς ἆθλον τῶν τῆς διδασκαλίας αὐτοῦ μόχθων τὴν κατὰ τὴν Λυδίαν Ἐπαρχίαν Φιλαδελφείας, τὴν κτίσμα Ἀττάλου, εἴληφε, καὶ εἶτα ἐκ ταύτης εἰς τὴν τῆς Ἀδριανουπόλεως μετετέθη Μητρόπολιν. Ἐν δὲ ὑστέροις ἀθλητικῷ τέλει μετὰ καὶ ἄλλων Ἱεραρχῶν τῷ 1821 ἔτει κἀυτὸς ἐχρήσατο ὁ μακάριος.

ΝΓ΄. *Εὐγένιος* Ἰθακήσιος, ἀνὴρ πεπαιδευμένος, ἔμπειρος τῶν θείων Γραφῶν, εἰδήμων καὶ τῆς Λατινίδος γλώττης, ἐνάρετος καὶ σεβάσμιος, διδάσκαλος ἐν Κωνσταντινουπόλει ἐν οἰκίαις περιφανῶν πρότερον ἐχρημάτισεν. Εἶτα δὲ διά τε τὴν παιδείαν καὶ ἀρετὴν Μητροπολίτης Ἀγχιάλου προκεχείρισται. Ἀλλὰ καὶ οὗτος ὁ μακάριος τῷ 1821 ἔτει, τὸν μαρτυρικὸν ὑπήνεγκε θάνατον.

ΝΔ΄. *Ἱλαρίων*, Κρὴς τὴν πατρίδα, ἐκ τῶν μοναστῶν τοῦ Σιναίου Ὄρους. Ἀνὴρ περί τε τὸν Ἕλληνα λόγον τῇ τέχνῃ δεινός, ὡς ἐκ τῆς νήσου Πάτμου Σχολῆς προεληλυθώς, καὶ τὸν ἀπὸ τῆς ἱερᾶς παιδείας, ναὶ μὴν καὶ τῆς ἐκλεκτικῆς φιλοσοφίας πλοῦτον κομῶν. Διὰ δὲ τὴν αὐτοῦ παιδείαν προήχθη ἐπὶ τὴν Τορνόβου Μητρόπολιν, ἣν διεκόσμησε πρὸς τοῖς ἄλλοις, καὶ συστάσει Σχολείων, πρὸς φωτισμὸν τῆς ἀμαθοῦς τῶν Βουλγάρων νεολαίας. Μετέστη πρὸς Κύριον ἐν Τορνόβῳ τῷ 1836 ἔτει, τέσσαρας πρὸς τοῖς δέκα χρόνοις τῆς ἐκεῖσε προστὰς Ἐκκλησίας.

ΑΠΑΝΤΗΣΙΣ

Εἰς τὸ ἐπ' ὀνόματι ψευδωνύμου Γερμανοῦ ἐκδοθὲν Πονημάτιον, τὸ κατηγοροῦν τοὺς ἐν Ῥωσσίᾳ θεολόγους, ὡς δεχομένους διττὰ βαπτίσματα. Ἐν ταύτῃ λύεται καὶ τὸ περὶ συνοικεσίων ἐν Ῥωσσίᾳ μετὰ ἑτεροδόξων ζήτημα.

§. 1. Εἴδομεν ἐν τῷ ἀρτίως ἐκδοθέντι ἐπ' ὀνόματι ψευδωνύμου Γερμανοῦ Πονηματίῳ, διὰ τῶν ἐκφράσεων τοῦ Εἰρηναίου Ἐπιτομέως

τῆς Θεολογίας τοῦ Ἱεράρχου Προκοπόβιτς, κατηγορουμένους τοὺς ἐν Ῥωσσίᾳ Θεολόγους, ὡς δεχομένους, κατ' αὐτὸν τὸν Εἰρηναῖον, διττὰ βαπτίσματα.

§. 2. Ἀλλ' ὁ ἐκδότης τούτου, ὁ διὰ τὰ κατ' αὐτοῦ ἐπιτοξευθέντα, φορᾷ δριμείᾳ ἀντιῤῥήσεων ἐπὶ ὑπερασπίσει αὐτοῦ ἀνταγωνιζόμενος, ὁ καὶ παρεκκλίνας ὅλως τοῦ σκοποῦ τῆς οἰκονομαχίας αὐτοῦ καὶ καταστήσας ἑτεραλκῆ τὸν ἀγῶνα, οἶδεν ἄρα ἠκριβωμένως τὰ αἴτια, δι' ὧν ὁ ῥηθεὶς Ἐπιτομεὺς τῆς Θεολογίας Εἰρηναῖος δικαιολογεῖ κατ' οἰκονομίαν τὸ τῆς ἐπιχύσεως; Αὐτὸς οὐδὲ ἠθέλησεν αὐθαιρέτως καὶ ἐλευθέρως ἀποδοκιμάσαι τὸ ἐν τισιν Ἐπαρχίαις πρὸ τοσούτων αἰώνων ὑπὸ τοσούτου πλήθους χριστιανῶν ὑπολαμβανόμενον, ὡς ὀρθὸν καὶ κανονικόν. Καὶ ἰδοὺ οἱ πραγματιώδεις λόγοι.

§. 3. Ἡ τῆς Πολωνίας Βασιλεία ἐπὶ τῆς ἀκμῆς τῆς τῶν ὅπλων αὐτῆς δυνάμεως τῷ ΙΣΤ' καὶ ΙΖ' αἰῶνι προοδεύουσα, ὑπέταξε τὴν Οὐκραΐναν, τὴν Κιοβίαν Πόλιν, ἐν ᾗ ἦν ποτε ὁ τῶν Δουκῶν τῆς Ῥωσσίας θρόνος, τὴν ἐκεῖθεν τοῦ Βορυσθένους μικρὰν λεγομένην Ῥωσσίαν, καὶ προεχώρησε μέχρι καὶ αὐτῆς τῆς Μόσχβας.

§. 4. Ἐν τῷ διαστήματι τῆς πολυχρονίου ἐξουσίας αὐτῆς ἐν τῇ Οὐκραΐνῃ καὶ τῇ μικρᾷ Ῥωσσίᾳ, ὑπέστη ὁ ἐκεῖσε ὀρθόδοξος λαὸς τὰ ἀνύποιστα, καταδυναστευόμενος διὰ τῆς διαρπαγῆς τῶν θείων Ναῶν, διὰ τῆς βεβηλώσεως τῶν φρικτῶν ἁγιασμάτων καὶ μυστηρίων, καὶ καταβιαζόμενος εἰς Παπισμὸν διὰ τῆς ἐν φανατιασμῷ λυσσώδους καταπατήσεως τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας ἱερῶν ἐθίμων καὶ τάξεων.

§. 5. Ἀλλ' ἐν ὅλῃ ταύτῃ τῇ ὠμοτάτῃ καταθλίψει, τῇ τῷ πνεύματι τοῦ γλυκυτάτου καὶ φιλανθρώπου νόμου τοῦ Εὐαγγελίου ἀντιπιπτούσῃ, διεφύλαξεν ὁ εὐσεβὴς αὐτὸς λαὸς πάντα τὰ ἄλλα πατροπαράδοτα, ὡς οἷόν τε, ἀπαράτρωτα, ἐκτὸς τῆς ἐπιχύσεως, εἰς ἣν ἀπάτην παρεσύρθη ὑπὸ τῶν δολίων καὶ πανούργων Παπιστῶν, τῶν ὑποσκελισαμένων τοὺς ἱερεῖς αὐτοῦ.

§. 6. Περὶ τὸ 1686 ἔτος, ὅτε οἱ βασιλεῖς τῆς Ῥωσσίας καταπολεμήσαντες τοὺς Πολωνούς, ἠλευθέρωσαν τὴν μικρὰν Ῥωσσίαν, τὴν Πόλιν Κιοβίαν καὶ τὴν Οὐκραΐναν, ὁ μὲν ἐν ταῖς Ἐπαρχίαις αὐταῖς εὐσεβὴς λαὸς ἀπηλλάγη τῶν ὑπὲρ πίστεως διωγμῶν· ἀλλ' οἱ ἐν ταῖς πέντε ἔτι ἐπαρχίαις τῆς κατὰ Πολωνίαν Λιτουανίας τοῦ Ἀνατολικοῦ Ὀρθοδόξου δόγματος καὐτοὶ ὄντες, κατεθλίβοντο καὶ ἐστέναζον διὰ πολλῶν ἔτι χρόνων ὑπὸ τὴν Παπικὴν τυραννίαν, καίτοι ἀπ' ἐναντίας αὐτὴν οὖσαν τῆς μετ' αὐτῶν πολιτικῆς τῶν Πολωνῶν συνθήκης.

§. 7. Ἡ ἐν Ῥωσσίᾳ Ἱερὰ Σύνοδος ἐπὶ Πέτρου τοῦ Μεγάλου καὶ

καθεξῆς, οἰκονομοῦσα ἐν κρίσει τὸ κατὰ τὴν μικρὰν Ῥωσσίαν καὶ Οὐκραΐναν, κακονοίᾳ Παπικῇ, παρεισφρῆσαν περὶ ἐπιχύσεως Ἐκθέσμον, οὐκ ἐβίασε τὴν κατάργησιν, μετελθοῦσα ἐν τούτῳ οὐ τὴν ἀκρίβειαν, ἀλλὰ τὴν οἰκονομίαν καὶ συγκατάβασιν, ἵνα μὴ εἰς ἀπόγνωσιν, σχίσμα καὶ διχοστασίαν φέρῃ τοὺς ἐκεῖσε εὐσεβεῖς, ὅτι καὐτοί τε καὶ οἱ τούτων ἀποθανόντες πατέρες καὶ πρόγονοί εἰσι πάντες ἀβάπτιστοι, καίπερ αὐτὴ εὐδυῖα καὶ τὴν ἐπὶ τῆς τελετῆς τοῦ μυστηρίου, ὑπὸ τῆς δεξιᾶς τοῦ ἱερέως, ἔνδον Κολυμβήθρας, ἔστω καὶ διὰ τριττῆς γενομένης ἐπιχύσεως, διατήρησιν τοῦ εἴδους τοῦ βαπτίσματος, ἤτοι τῶν ἐπικλήσεων.

§. 8. Ἀλλ' εὐχῆς ἔργον εἴη, ἡ ὑπὸ τῆς ἀνυστάκτου φροντίδος τῆς ἱερᾶς ἐκείνης διοικούσης Συνόδου ἀρξαμένη μὲν ἐν ταῖς ῥηθείσαις Ἐπαρχίαις, μὴ τελεσθεῖσα δὲ ἔτι τελεία κατάργησις τοῦ παρεισδύσαντος ἐν ἀπάτῃ ποτὲ καὶ λόγῳ Ἐκθέσμου, καὶ ἡ ἀντικατάστασις αὖθις τοῦ διὰ τῶν Ἀποστόλων, κατὰ τὸν Ν' Κανόνα, παραδοθέντος καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθέντος ἱεροῦ διὰ τριττῆς καταδύσεως καὶ ἀναδύσεως ἔθους, τοῦ καθ' ὅλην τὴν μεγάλην Ῥωσσίαν πρὸ ὀκτὼ ἤδη αἰώνων μέχρι τούτου μεθ' ὅσης ἀκριβείας τελουμένου ἵν' οὕτως ἐξάρῃ ἐκ μέσου καὶ τὸ ὕστατον σκανδάλου ὑπέκκαυμα, ὥστε οὔτε τινὰς τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας Ὀρθοδόξων ὑπὸ τῶν προτεινομένων ἐν τῇ Θεολογίᾳ τοῦ Εἰρηναίου διαταράττεσθαι, οὔτε καὶ τὸ ἀποῤῥαγὲν ἐκεῖνο τῶν ὀρθῶν Δογμάτων, προκατεγνωσμένον ἐν Ῥωσσίᾳ, τῶν Ρασκολνίκων αἱρετικὸν κόμμα, τὸ τοῦ ἑτέρου εὐσεβοῦς μέρους βάπτισμα ἐκφαυλίζειν ὡς ἀνίσχυρον καὶ ἀποκαταστήσῃ τέως ὅσον οὔπω πάντας τοὺς κατὰ τὴν εὐρυχωροτάτην ἐκείνην Αὐτοκρατορίαν εὐσεβεῖς πρεσβεύειν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, ἕνα Κύριον, μίαν Πίστιν, ἓν ἀνεξαιρέτως Βάπτισμα.

§. 9. Λύει δὲ ἡ Ῥωσσικὴ Ἐκκλησία τὸ περὶ Συνοικεσίων μετὰ ἑτεροδόξων ζήτημα καταφατικῶς, καὶ ἐπιτρέπει διὰ τοὺς ἐφεξῆς λόγους.

§. 10. Μετὰ τὴν κατάκτησιν ὑπὸ Πέτρου τοῦ μεγάλου τῶν κατὰ τὰ παράλια τῆς Βαλτικῆς ἐξ Σουηκικῶν Ἐπαρχιῶν Ἰνγερμαλαντίας, Ἰνγρίας, Ἐστλανδίας, Λιφλανδίας, Φιλανδίας καὶ Κιρλανδίας, διότι οἱ ἐν αὐταῖς κάτοικοι σύμπαντες ὑπάρχουσι Λουθηριανοί, καὶ ἡ Βασιλεία πολιτικῶς, καὶ ἡ ἐκεῖσε Ἱερὰ Σύνοδος θρησκευτικῶς, ἔστησαν τὴν προσοχὴν αὐτῶν ἐπὶ τοὺς ἑτεροδόξους αὐτοὺς ὑπηκόους, καὶ ἡγήσαντο ὡς ἐκ περιουσίας κατόρθωμα, ὅπως παντοίοις τρόποις, ἐπὶ ἀσφαλείᾳ τῆς Βασιλείας καὶ προόδῳ τῆς εὐσεβείας, ἐφέλξωσι καὶ κερδήσωσι τοὺς ἐξ ἀλλοτρίου αὐτοὺς κόμματος διὰ τῶν γαμικῶν ἐν πρώτοις μετὰ Ῥώσσων συναλλαγμάτων, εἶτα δὲ

καὶ διὰ τῶν πολεμικῶν καὶ πολιτικῶν ὑπουργημάτων τῆς Αὐτοκρατορίας.

§. 11. Ἐπ' αὐτῷ οὖν τῷ συμφέροντι κατ' ἄμφω σκοπῷ, ἐδόθη ἡ ἄδεια καὶ συγχώρησις τῆς διὰ τῶν συνοικεσίων συναφείας τῶν Ὀρθοδόξων Ῥώσσων ἀνδρῶν μετὰ τῶν ἐν ταῖς ῥηθείσαις Σουηκικαῖς ποτε Ἐπαρχίαις παρθένων καὶ γυναικῶν Λουθηριανῶν, καὶ ἐναλλὰξ ἀνδρῶν τε καὶ γυναικῶν ἐκείνων μετὰ τῶν Ὀρθοδόξων, ἀλλ' ἐν συνθήκῃ ἀπαραβάτῳ τοιαύτῃ νόμου ἀμετατρέπτου δύναμιν δεξαμένῃ, ὥστε τελεσιουργεῖσθαι ἢ ἐπὶ ἀνδρὸς, ἢ παρθένου, ἢ γυναικὸς ἐκ τῶν τοῦ κόμματος μετὰ Ῥώσσων, καὶ τούτων ἐπίσης μετ' ἐκείνων, ὑπὸ Ὀρθοδόξου Ἱερέως τὸ τοῦ γάμου μυστήριον, καὶ πάντα ἀνεξαιρέτως τὰ ἐξ αὐτῶν τέκνα βαπτίζειν κατὰ τὸ Ἀνατολικὸν ἀρχαῖον δόγμα διὰ τριῶν καταδύσεων καὶ ἀναδύσεων. Ὁ αὐτὸς δὲ γενόμενος ἐν τῷ Κράτει ἐκείνῳ, ὡς ἀπαράβατος ἄλλος ὅρος, διατηρεῖται ἀκριβῶς καὶ ἐπὶ τῶν μετὰ τῶν Καθολικορωμάνων συνοικεσίων ἐκεῖσε.

§. 12. Ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ἀνάγκης τοιαύτης μὴ προκειμένης, οὐδὲ ἐπιτρέπονται τὰ τοιαῦτα διὰ γάμου συνοικέσια μετὰ ἑτεροδόξων, καὶ αὐστηρῶς κωλύονται. Ἅπαξ ἡ τοιαύτη κατὰ τὸ 1783 ἔτος Ἐκκλησιαστικὴ Συνοδικὴ ἄδεια, ἀνάγκης οὔσης, ἐπισήμως ἀπελύθη πρὸς τοὺς τὴν κατὰ τὰς Ἀνατολικὰς Ἰνδίας Πόλιν Καλκούταν οἰκοῦντας ἀποίκους ἐκεῖσε ἡμετέρους Ὀρθοδόξους ἐμπόρους, οἵτινες, διότι συνεκυλίοντο καὶ συνεφθείροντο μετὰ τῶν ἐκεῖσε ἑτεροθρήσκων γυναικῶν, πρὸς παῦσιν τῆς κακοπραγίας καὶ ἁμαρτίας, θερμῶς ἐξῃτήσαντο τὴν μετὰ τῶν ἐκεῖσε Κατολικισσῶν καὶ Ἀρμενισσῶν διὰ τοῦ μυστηρίου τοῦ γάμου σύζευξιν. Καὶ δὴ, τῆς κατεπειγούσης ἀνάγκης ἕνεκα, εἴξασα ἡ Ἐκκλησία, δέδωκε μὲν διὰ Συνοδικοῦ αὐτῆς Γράμματος τὴν τοιαύτην ἄδειαν, ἀλλ' ἐπὶ τοιαύτῃ συνθήκῃ, ὥστε τὰ ἐκ τῶν συνοικεσίων τούτων τεχθησόμενα, εἴτε ἄῤῥενα, εἴτε θήλεα, βαπτίζεσθαι ὑπὸ τῶν ἐκεῖσε Ὀρθοδόξων δύω Ἀρχιμανδριτῶν, τῶν ἐκ τῆς χορείας τῶν Σιναϊτῶν πρὸ πολλῶν χρόνων εἰς τὰ ἐκεῖσε ἀποςελλομένων. Καὶ ἤδη αὐξηνθείσης τῆς ἐκεῖσε Ὀρθοδόξου φυτείας, ἔπαυσεν ἡ μετὰ τῶν ἑτεροθρήσκων γυναικῶν σύζευξις.

ΠΕΡΙ ΑΓΓΕΛΩΝ,

Ὅτι οὐ πάντη ἀσώματοι.

§. 1. Ὁ Εἰρηναῖος Φαλκόβσκης, ἐν τῇ αὑτοῦ Θεολογίᾳ ἐν τῷ περὶ γνωμῶν τῶν Ἁγίων Πατέρων, λέγει καὶ περὶ Ἀγγέλων, ὅτι ἡ Β΄ Οἰκουμενικὴ Σύνοδος ἐδόξαζεν αὐτοὺς, ὡς ἔχοντας λεπτὴν τὴν φύσιν.

ρους τῆς Ἀνατολικῆς Ἐκκλησίας· ἐκ δὲ τῆς Δυτικῆς, ΣΤ', Ὁ Πάπας Εὐγένιος κατ' αὐτὸν τὸν καιρὸν τῆς ἐν Φλωρεντίᾳ ψευδοσυνόδου ὑπῆρχε καθῃρημένος τρὶς, ἐγγράφως καὶ παῤῥησίᾳ ὑπὸ τῆς ἐν Βασιλείᾳ συνηθροισμένης Συνόδου τῶν Δυτικῶν, ἐν ᾗ ἦσαν 700 Ἐπίσκοποι, καὶ ὁ Αὐτοκράτωρ Σιγισμοῦνδος παρών. Ἀντὶ δὲ τοῦ Εὐγενίου ὑπῆρχεν ἄλλος Πάπας ἐκεῖ χειροτονημένος ὑπὸ τῆς Συνόδου, Φῆλιξ ὁ Ε'. (Βλ. τὰ Πρακτικὰ τῶν Συνόδων Ἐκδ. Λαββαίου Τόμ. 12. σελ. 590, 606, καὶ Τόμ. 13. ἄρθρ. 92. καὶ τῆς Ἐκκλ. Ἱςορ. τοῦ Γάλλου Φλέουρυ, σελ. 163. 296)· ὥστε, ὅσα ἔπραττε καὶ ἔλεγεν ὁ Πάπας Εὐγένιος ἐν τῇ ψευδοσυνόδῳ τῆς Φλωρεντίας, καὶ αὐτὴ αὐτοῦ ἡ ὑπογραφὴ, ὑπῆρχον ὅλα ἄκυρα καὶ παράνομα. Ζ', Ἡ αὐτὴ ἐν Βασιλείᾳ Σύνοδος, τὸ ἐν Φλωρεντίᾳ Συνέδριον ὥρισε συνέλευσιν ἀπάτης καὶ σχίσματος, καὶ Συνέδριον σχισματικῶν (Βλ. Φλέουρυ αὐτ. Τ. 22. σελ. 38). Η', Τελευταῖον, καὶ ὁ τὸν Εὐγένιον διαδεξάμενος Πάπας Νικόλαος ὁ Ε' τῷ 1447, ματαιωμένην καὶ διαλελυμένην ἐγνώρισε τὴν Φλωρεντινὴν ψευδένωσιν, ὅθεν καὶ τὸν Αὐτοκράτορα, καὶ τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς ἀφώρισε, καὶ ἀνταφωρίσθη ὑπ' αὐτῶν, ὡς μαρτυρεῖ ὁ Μονεμβασίας Δωρόθεος, εἷς καὶ αὐτὸς γενόμενος τῶν ἐν Φλωρεντίᾳ (παρὰ τῷ Ἀλλατίῳ αὐτόθ. σελ. 952). Τοιοῦτον τέλος ἔλαβε (καθὼς ἦν ἑπόμενον) ἐκείνη ἡ μὴ ἐν ὀνόματι Χριστοῦ, ἀλλ' ἐν ὀνόματι τοῦ Κόσμου συναχθεῖσα, καὶ ὡς ἱστὸς ἀράχνης διαλυθεῖσα Φλωρεντινὴ Συνέλευσις, εἰς ἣν ὁ μὲν δύστηνος Ἰωάννης, ὁ Αὐτοκράτωρ ἐζήτει βοήθειαν εἰς τὸν ἐπικείμενον κίνδυνον τῶν πολεμίων, ὑπομένων καὶ τὰς ἐσχάτας περιφρονήσεις· ὁ δὲ δόλιος Πάπας, ὁ Εὐγένιος ἐθήρευε τὴν εἰς τὴν καθέδραν αὐτοῦ στερέωσιν, ἐφ' ἧς ἐκλονεῖτο, καθαιρούμενος καὶ ἀφοριζόμενος ὑπὸ τῆς ἐν Βασιλείᾳ Συνόδου. Κρινέτω ἤδη πᾶς τις φίλος τῆς ἀληθείας, ἂν ὁ βιβλιογράφος ἐννοεῖ τί λέγει, λέγων, ὅτι τὸ τῶν Γραικῶν Ἔθνος, *τετυφλωμένον ἀπὸ τὰς ἐθνικὰς προλήψεις*, καὶ ὑστερούμενον ἀπὸ τὸν ζῆλον τῆς ἀληθοῦς Πίστεως, ἔμεινεν εἰς τὴν πλάνην. Ἀλλὰ τὸ τῶν Γραικῶν Ἔθνος, ἤγουν ἡ Γραικικὴ, ἡ Ἀνατολικὴ Ἐκκλησία, ἐστηριγμένη ἐπὶ τὴν πέτραν τῆς Πίστεως, καὶ μηδεμίαν καινόφωνον ἀνασχομένη προσθήκην καὶ μεταβολὴν, ἔμεινεν ἀπλανῶς καὶ ἀπαρασαλεύτως διακρατοῦσα τὰς Ἀποστολικὰς διδασκαλίας καὶ παραδόσεις, κατὰ τοὺς ἐν ταῖς ἑπτὰ Οἰκουμενικαῖς ἁγίαις Συνόδοις ὑπὸ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν Πατέρων ἐν ἁγίῳ Πνεύ-

---

...τικῆς Ἐκκλησίας σελ. 843—915, καὶ 1387) κτλ. Βλ. καὶ τὴν Τουρκογραικίαν (σελ. 4.) καὶ Δοσιθέου τὸ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, καὶ Μελετ. Ἐκκ. Ἱστορ. καὶ τὴν Ἀπόκρισιν κτλ. Ἐκδόσ. ἐν Χάλλῃ, 1775. κτλ.

ματι ἀποφανθέντας Ὅρους καὶ Κανόνας (οὓς ὁ λογιώτατος φαίνεται ἀποκαλῶν *προλήψεις ἐθνικάς!*). Τὸ τῶν Γραικῶν λοιπὸν Ἔθνος ἔμεινε *τετυφλωμένον εἰς τὴν πλάνην*; ἢ οἱ παραλλάξαντες τὸ Σύμβολον τῆς Πίστεως, καὶ παρεκτραπέντες ἐν τῇ Ἱερουργίᾳ τῶν Μυστηρίων, καὶ ὑπερβάντες ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες, δι' ὧν τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς ἐλάλησε τὸ Ἅγιον, καὶ τὰ ἐναντία ἐκείνων καινοτομῆσαι τετολμηκότες;

Πρότασις Η΄.

« Οἱ δύω αἴτιοι τοῦ σχίσματος, ὁ Φώτιος καὶ Μιχαὴλ ὁ Κηρουλάριος, κατηγοροῦσαν τοὺς Λατίνους » (συνείρει ὁ φυλλαδιογράφος) « ἐπὶ τρισὶ πρὸς τοῖς δέκα ἐγκλήμασιν. »

Ἀντίθεσις.

Οἱ μνησθέντες δύω Πατριάρχαι, ὁρῶντες μετὰ συνοχῆς καρδίας τὴν Δυτικὴν Ἐκκλησίαν, διὰ τῶν ἐπινοηθέντων καινοτομημάτων παραλλάττουσαν τὴν ἀλληλουχίαν τῶν διδαγμάτων τῆς Πίστεως, καὶ ἐκπίπτουσαν τῶν ἀρχαίων καθεστώτων, χρέος ἐκπληροῦντες χρεῶν ἁπάντων τὸ ἱερώτατον, ὕψωσαν φωνήν, ἐπιστείλαντες τοῖς κατὰ τὴν Ἑῴαν λῆξιν λοιποῖς Πατριάρχαις, καὶ καταγγείλαντες αὐτοῖς τὰ καινοφανῆ τολμήματα. Ἐπειδὴ λοιπὸν ἀντέστησαν εἰς τὰς Λατινικὰς καινοτομίας ὑπερμαχοῦντες τῆς ἀκεραιότητος τοῦ θείου Δόγματος, τὸ διαβάλλειν τούτους ἰταμῶς ὡς τοῦ Σχίσματος αἰτίους, οὐκ ἔστι τοῦτο προφανὴς ὑπὸ πάθους ἄσπονδος δυσμένεια; Ἀλλὰ τοῦτο πράττων ὁ κύριος Ἀρχιεπίσκοπος τῆς Πέτρας, οὐδὲν ἄλλο πράττει, εἰμὴ ὅ,τι καὶ οἱ περὶ τὸν Νικομηδείας Μητροπολίτην Εὐσέβιον Ἀρειανοί, οἵτινες διέβαλλον τὸν Μέγαν Ἀθανάσιον, ἀποκαλοῦντες αὐτὸν σχίστην καὶ στασιαστήν, διότι ὑπερησπίζετο τὸ Θεῖον δόγμα τῆς Ἐκκλησίας. Ἄλλα τοιαῦτα πολλὰ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας παραδείγματα παραλείπομεν.

Διαλύσωμεν δὲ ἤδη καὶ τῶν κατηγορουμένων δεκατριῶν ἐγκλημάτων τὰ κυριώτερα. Α΄, τὸ περὶ ἀζύμων. Ἡ καινοτομία αὕτη εἰσήχθη εἰς τὴν Δυτικὴν Ἐκκλησίαν κατὰ τὸν ἑνδέκατον αἰῶνα μεσοῦντα, διότι πρὸ τούτου οὐδὲ ὑπῆρξαν ἐν τῇ Ἐκκλησίᾳ ἔριδες περὶ τοῦ ἀντικειμένου τούτου. Ὅτι δὲ ὁ Κύριος Ἰησοῦς Χριστὸς οὐκ ἐτέλεσε τὸν μυστικὸν Δεῖπνον δι' ἀζύμου ἄρτου, μυρίας ἔχοντες ἀποδείξεις καὶ μαρτυρίας, ἕνα μόνον πρὸς πίστωσιν προβάλλομεν, καὶ τοῦτον Δυτικὸν καὶ νεώτερον, καὶ κατὰ τὴν παιδείαν καὶ πολυμά-

θειαν ἔξοχον, καὶ μεγάλην παρὰ τοῖς Δυτικοῖς βαρύτητα ἔχοντα, τὸν ἐκ τοῦ Βενεδικτινοῦ τάγματος Αὐγουστῖνον τὸν Καλμέτον (1), ὅς τις λαμπραῖς καὶ ἀναντιῤῥήτοις ταῖς ἀποδείξεσιν ἐν τῷ «*Περὶ τοῦ ἐσχάτου Πάσχα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*» ἀπό τε τῶν ἱερῶν Εὐαγγελιστῶν, καὶ τῶν πρώτων Πατέρων Ἀνατολικῶν τε καὶ Δυτικῶν, διαῤῥήδην παρίστησι τὸν μυστικὸν Δεῖπνον τελεσθέντα τῇ δεκάτῃ τρίτῃ τοῦ Νισσὰν, τουτέστι τῇ Πέμπτῃ ἡμέρᾳ τῆς Ἑβδομάδος δι' ἐνζύμου ἄρτου. Τῇ δὲ ἐπαύριον κατὰ τὴν δεκάτην τετάρτην τοῦ Νισσὰν, τῇ Παρασκευῇ (καθ' ἣν, ὡς παραμονὴν τοῦ Νομικοῦ Πάσχα, οἱ Ἰουδαῖοι «οὐκ εἰσῆλθον [κατὰ τὸν Εὐαγγελιστὴν Ἰωάννην] εἰς τὸ Πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα») ἐθυσιάσθη αὐτὸς ὁ Χριστὸς, ὡς ἀληθὴς ἀμνός. Ἐξ οὗ καταφανῶς δεικνύεται, ὅτι οὐκ ἔφαγον αὐτὸ οἱ Ἰουδαῖοι τῇ παρελθούσῃ ἡμέρᾳ. Ἡ ἐν ἐνζύμῳ χρῆσίς ἐστιν ἀπ' ἀρχῆς ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ οὐ δύναταί τις ἀποδεῖξαι ταύτης τὴν ἀρχὴν, ὡς ἐκείνη ἡ τῶν ἀζύμων δεικνύεται ἐν τῇ Δυτικῇ Ἐκκλησίᾳ, δι' ἣν μάλιστα καὶ ἡ ἔρις ἐξήφθη μεταξὺ τοῦ Κηρουλαρίου καὶ τοῦ Θ' Λέοντος.

Β', Κατηγόρησαν ὁ Φώτιος καὶ ὁ Κηρουλάριος, ὅτι οἱ Λατῖνοι νηστεύουσι τὸ Σάββατον. Ἀλλὰ τοῦτο κατηγόρησαν πρῶτοι οἱ Ἀπόστολοι. Διότι ἐν τοῖς τῶν Ἀποστόλων Κανόσι γέγραπται κατὰ λέξιν «εἴ τις κληρικὸς εὑρεθῇ τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ Σάββατον, πλὴν ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.»

Γ', Κατηγόρησαν, ὅτι τρώγουσιν οἱ Λατῖνοι τὸ κρέας τῶν ἀκαθάρτων ζώων (πρόσθες μάλιστα καὶ τὰ πνικτά). Ἀλλὰ καὶ τοῦτο κατηγόρησαν οἱ Ἀπόστολοι. Ἐν ταῖς τῶν Ἀποστόλων Πράξεσι γέγραπται οὑτωσίν· «Οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι καὶ ἀδελφοὶ, τοῖς ἐξ Ἐθνῶν πιστοῖς χαίρειν· Ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος· πλὴν τούτων ἐπάναγκες ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε,». Τούτων ταῖς διατάξεσι καὶ ἡ Ἕκτη Σύνοδος ἑπομένη, ἐν τῷ ΞΖ' Κανόνι τῶν ἑαυτῆς, ἀποφαίνεται κατὰ τῶν παραβατῶν ἀφορισμὸν καὶ καθαίρεσιν.

Δ', Κατηγόρησαν οἱ δύω ῥηθέντες Πατριάρχαι τοὺς Λατίνους,

(1) Οἴδαμεν, ὅτι ἡ τοῦ τηλικούτου ἀνδρὸς Δυτικοῦ ἰσχυρὰ ἀπόδειξις, συγχέει καὶ ταράττει τοὺς Δυτικοὺς αὐτοὺς τὰ μέγιστα, ὡς ἐκθέτουσα τὴν χρῆσιν τῶν ἀζύμων εἰς τὴν μέμψιν τῶν καλουμένων ἡμῶν παρ' αὐτοῖς σχισματικῶν. Τοῦτο τὸ Σύγγραμμα τοῦ Καλμέτου μετεφράσθη καὶ Ἑλληνιστὶ, καὶ ἐξεδόθη πέρυσιν ἐν Κωνσταντινουπόλει (τῷ 1843, ἤτοι πρὸ ἑνὸς ἔτους τῆς α'. Ἐκδόσεως τῆς Ἀπαντήσεως ταύτης. Σημ. Ἐκδ.).

ὡς βαπτίζοντας διὰ μιᾶς καταδύσεως (1), ἢ διὰ τῆς ἐγχύσεως (γράφε ἐπιχύσεως), ἥτις τελευταῖον μετεβλήθη εἰς τὸν συνήθη ἤδη ῥαντισμόν. Ἀλλὰ καὶ τοῦτο κατηγόρησαν οἱ Ἀπόστολοι. Ὁ Ἰησοῦς Χριστὸς ἀπέστειλε τοὺς ἁγίους αὐτοῦ Μαθητὰς εἰς τὸν Κόσμον ἅπαντα, μαθητεῦσαι πάντα τὰ ἔθνη καὶ βαπτίζειν, οὐχὶ ῥαντίζειν. Καὶ βαπτίζειν δὲ, πῶς; «εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος,» δηλονότι ἐν τρισὶ καταδύσεσι καὶ ἀναδύσεσιν, ἰσαρίθμοις ταῖς τρισὶν ἐπικλήσεσι τῶν ὑπερθέων Προσώπων τῆς Ἁγίας Τριάδος. Τοῦτο θεσπίζει καὶ ὁ Ν΄ Κανὼν τῶν Ἀποστόλων, λέγων· « Εἴτις Ἐπίσκοπος ἢ Πρεσβύτερος μὴ τρία Βαπτίσματα (τρεῖς καταδύσεις) μιᾶς μυήσεως ἐπιτελέσει, ἀλλὰ ἓν Βάπτισμα (μίαν κατάδυσιν) καθαιρείσθω. » κτλ. Καὶ ἐὰν τὸν διὰ μιᾶς καταδύσεως βαπτίζοντα καθαιρεῖσθαι διέταξεν ὁ Κανὼν, πολλῷ μᾶλλον τὸν βαπτίζοντα δι' ἐπιχύσεως, καὶ τέλος, διὰ τοῦ ῥαντισμοῦ (τὸν ὁποῖον οὐδὲ κἂν ὀνομάσαι ἐτόλμησεν ὁ κύριος Ἰλλερώ). Τελευταῖον (ἵνα παραλίπωμεν τὰ ἄλλα).

Ε΄, Κατηγοροῦνται οἱ Λατῖνοι, ὡς προσθέσαντες εἰς τὸ Σύμβολον τὸ Filioque *(καὶ ἐκ τοῦ υἱοῦ)*. Καὶ τοῦτο κατηγοροῦνται οὐχ ὑπὸ τοῦ Κηρουλαρίου καὶ τοῦ Φωτίου μόνον, ἀλλὰ πρῶτον ὑπ' αὐτοῦ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου, ὅστις παραδιδοὺς τῇ Ἐκκλησίᾳ τὰς Κυριακὰς φωνὰς, ἔγραψε, « Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Κατηγοροῦνται ὑπὸ τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, ὑπὸ πάντων τῶν Θεοφόρων Πατέρων καὶ καὶ ὑπὸ πάσης τῆς Ἀποστολικῆς Ἐκκλησίας, καὶ ὑπ' αὐτῆς τῆς πρὸ τοῦ σχίσματος Δυτικῆς. Ἡ καινοτομία αὕτη καὶ κορωνὶς ὅλων τῶν κακῶν, περὶ τὴν ὀγδόην λήγουσαν ἑκατονταετηρίδα, ὡς πάντες

(1) Ἡ ἐν Τολήτῳ τῆς Ἱσπανίας Δ΄ Σύνοδος, ἥτις συνῆλθε τῷ 633 οὐχ ἐν ὀνόματι Χριστοῦ, οὐδ' ἐπὶ σκοπῷ εὐσεβείας· ἀλλ' ἵνα στερεώσῃ τὸν Σισενάνδον τὸν ἁρπάσαντα τὴν βασιλείαν τοῦ Σεντίλου (Βλ. Φλέουρυ Ἐκκλ. Ἱστορ. Τόμ. 8. σελ. 320, καὶ τῆς αὐτῆς Συνόδου Καν. 75.), αὕτη πρώτη, παραδοθεῖσα εἰς ἀδόκιμον νοῦν, διώρισε γίνεσθαι τὸ Βάπτισμα ἐν Ἱσπανίᾳ, ἀδιαφόρως καὶ ἐν μιᾷ καταδύσει, πρὸς ἀποφυγὴν τάχα τινὸς αἱρέσεως ἐκεῖ τότε ἀναφανείσης. Καὶ πρὸς τοῦτο φέρουσι καὶ μίαν ῥῆσιν τοῦ ἁγίου Πάπα Γρηγορίου τοῦ Μάγνου, συγχωροῦσαν τάχα τὸ παρανόμημα. Ἀλλ' ἡ ῥῆσις φαίνεται πλαστή. Τὸ δὲ διὰ μιᾶς καταδύσεως Βάπτισμα ἐνόσουν οἱ Εὐνομιανοί. Καὶ ἡ ἁγία Οἰκουμενικὴ Β΄ Σύνοδος τούτους, ὡς ἐν μιᾷ καταδύσει βαπτιζομένους, ἀβαπτίστους διώρισε (Καν. Θ΄.). Σημειωτέον δὲ ὅτι, καὶ τὸ τοῦ Βαπτίσματος παρανόμημα τότε μὲν ἔμεινε καὶ ἐσβέσθη ἐν Ἱσπανίᾳ· πολλοὺς δὲ ὕστερον αἰῶνας συνειθίσθη εἰς τὴν Δυτικὴν Ἐκκλησίαν ὁ ῥαντισμός. Εἰς ταύτην τὴν Δ΄ Τοληταν ὴν Σύνοδον ἐμφαίνεται τὸ πρῶτον καὶ ἡ περὶ τοῦ Πνεύματος « καὶ ἐκ τοῦ Υἱοῦ » βλασφημία. Ἀλλὰ ταύτης τὰ πρακτικὰ κατὰ τοῦτο τὸ Ἄρθρον ἐνοθεύθησαν, καθὼς ἄριστα παρετήρησεν ὁ Ζοιρνικάβιος (τόμ. ά. σελ: 226.) τῆς δὲ βλασφημίας τὰ γενέθλια φαίνονται πολὺ μεταγενέστερα. Βλέπε περὶ τούτου εὐθὺς ἐν τοῖς κατωτέρω.

ἴφασιν, εἰς τὴν Δυτικὴν Ἐκκλησίαν παρεισηνέχθη, οὐχὶ ἐν Ἱσπανίᾳ πρώτιστα, καθὼς λέγουσιν, ἀλλὰ παρὰ τοῖς Γάλλοις τῷ 791 ἔτει, καὶ ἐκ τῶν Γαλλιῶν τοῖς ὁμόροις διεδόθη. Ὁ δὲ πρῶτος ἐκ τῶν Δυτικῶν κατὰ τοῦ ἐπινοήματος τῆς ἀνηκούστου ταύτης καινοτομίας φωνὴν ὑψώσας, ὑπῆρξεν Ἀλβῖνος Ἀλκουΐνος (1) ὁ ἐξ Ἄγγλων μὲν ὁρμώμενος, εἰς δὲ Γαλλίαν, διὰ τὸ ὑπερέχον ἐν παιδείᾳ καὶ λόγοις ὑπὸ Καρόλου τοῦ Μάγνου μετάπεμπτος· ὅστις ἐν τῇ πρὸς τοὺς ἐν Λουγδούνῳ ἀδελφοὺς Ἐπιστολῇ ΞΘ', τὴν τοιαύτην τότε συνεστηκυῖαν διαζήτησιν περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης ἀπεδοκίμασε, καθώσπερ καὶ ὁ κατ' ἐκεῖνο τοῦ χρόνου τῶν λοιπῶν ἁπάντων Λατίνων σοφώτατος Παυλῖνος ὁ Ἀκυλίας ἢ Φοροϊουλίου Πρόεδρος (2), ἐν Συνόδῳ, τῇ κατὰ τὸ Φοροϊούλιον συστάσῃ τῷ 791 ἔτει, συνάμα τοῖς ἐκεῖ λοιποῖς Πατράσι, τὴν ἀνακύψασαν ἤδη τότε νεοφανῆ ταύτην προσθήκην, τῇ ψήφῳ τῆς ἐν Ἐφέσῳ τρίτης Συνόδου, ἀπέκρουσε καὶ ἀπέβαλεν. Εἰ δὲ καὶ τὰ τοῦ Παυλίνου ῥήματα παρέφθειραν οἱ Λατῖνοι, καθώσπερ καὶ ἄλλων πολλῶν Πατέρων, καὶ τὰ συντελοῦντα τῇ αὐτῶν προσθήκῃ ἐγκατέσπειραν, ἀλλὰ τὰ ἐν τῇ 996 Στήλῃ εἰσέτι κεῖνται ἀπαραλύμαντα. Ἐπεὶ δὲ ἡ ἀρτιφανὴς καινοτομία, ὑπὸ Λατίνων, ἀνδρῶν παιδείᾳ τε καὶ ἀξιώματι διαφερόντων, ὡς ἀδόκιμος μὲν ἀπεβάλλετο, ὑπ' ἄλλων δὲ ἐπῃνεῖτο, ἔνθεν τοι διαφερομένων μετὰ δριμύτητος τῶν Ἐπισκόπων, καὶ μέγιστος ἀγὼν καὶ τάραχος μέσον Λατίνων ἀνεκινεῖτο σφοδρός, Κάρολος ὁ Μάγνος Γαλλίας τε ἅμα καὶ Γερμανίας Αὐτοκράτωρ τότε, Σύνοδον ἐπὶ τούτῳ ἐν Ἀκυϊσγράνῳ (Aix de la Chapelle) συνήθροισεν ἔτει 809, πρὸς διάλυσιν τῆς ἔριδος. Μετὰ δὲ διαλέξεις πολλὰς περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, τῶν μὲν αὐτὸ ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ διατεινομένων, τῶν δὲ πρὸς τοῦτο ἀντιτεινόντων, ἄπρακτος τέλος διελύθη ἡ Σύνοδος. Μαρτυροῦσι δὲ τὸ πρᾶγμα οἱ κατ' ἐκεῖνο περιόντες τῷ βίῳ, καὶ ἄλλοι τῶν Λατίνων ὕστερον, ὡς Ἄδων ὁ Βιέννης Ἀρχιεπίσκοπος (3), καὶ Αἰμόνιος (4), καὶ ἄλλοι ἔτι.

Ἐπὶ τῆς Συνόδου ταύτης, διότι ὁμοφωνῆσαι οὐκ ἐδυνήθησαν, τῶν μὲν ἐγκρινόντων, τῶν δὲ κατακρινόντων τό τε δόγμα τῆς τοῦ Πνεύ-

---

(1) Ἤνθει μὲν ὁ Ἀλβῖνος περὶ τὸ 780, ἀπεβίωσε δὲ περὶ τὸ 804 ἔτος.

(2) Οὗτος προὐκεχείριστο τῷ 776, ἀπεβίωσε δὲ καὶ αὐτὸς τῷ 804, συναγωνιστὴς γενόμενος τῷ Ἀλκουΐνῳ καὶ λόγοις καὶ γράμμασι.

(3) Γάλλος ἦν τὸ γένος ὁ Ἄδων· κατὰ τὸ 859 ἔτος προαχθεὶς εἰς τὴν Ἀρχιεπισκοπήν· παρέτεινε δὲ τὸ ζῆν εἰς τὸ 873 ἔτος, συνέγραψεν Ἐπιτομὴν Χρονικῶν.

(4) Ὁ Φλωριακηναῖός ἐστιν οὗτος Αἰμόνιος, ὁ κατὰ τὴν Ι' ἢ κατὰ τὴν ΙΑ' Ἑκατονταετηρίδα περιὼν τῷ βίῳ, καὶ τὰ τῶν Φράγκων συγγραψάμενος χρονικά. Βλ. τούτων Βιβλ. Δ'. κεφ. 97.

ματος καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως, καὶ αὐτὴν τὴν ἐν τῷ Ἱερῷ Συμβόλῳ καινοτόμον προσθήκην, Βαρνχάρος ὁ Βορμακήνσιος Ἐπίσκοπος, καὶ Ἰεσσαὶ Ἐπίσκοπος Ἀμβιανηνσίας, καὶ Ἀδαλχάρδος ὁ Κορβιήνσιος Ἀββᾶς ὑπὸ Καρόλου Μάγνου ἀπεστάλησαν εἰς Ῥώμην πρὸς τὸν Μακαριώτατον Πάπαν Λέοντα τὸν Γ', (ὅστις ἤρθη μὲν ἐπὶ τοῦ Θρόνου τῆς Ῥώμης τῷ 797, ἐτελεύτησε δὲ τῷ 816,) ὅπως ἐρωτήσωσι περὶ τῆς ἐν τῷ Συμβόλῳ νεοφανοῦς προσθήκης ταύτης. Ἀλλ' εὗρον τὸν Πάπαν ὅλως περὶ ταύτης ἀντιφερόμενον, ὅςτις οὐ μόνον τὴν προσθήκην ὡς ἀνήκουστον σφοδρῶς ἐξήλεγξε, καὶ ἀποτόμως ἀπώσατο, καὶ τὸ προστεθὲν διεκέλευσεν ἐκ τοῦ Συμβόλου ἀφαιρεθῆναι, (καθὰ ἐναντίον τῷ τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων ὅρῳ, τῷ διαῤῥήδην καθυποβάλλοντι τοὺς περὶ τὸ Σύμβολον καινοτομοῦντας τῷ ἀναθέματι,) ἀλλὰ καὶ ὑπὸ διαπύρου ζήλου ὑπὲρ τῆς ὀρθότητος τοῦ θείου Δόγματος, κατὰ τὴν οὐράνιον Εὐαγγελικὴν φωνὴν, διεγερθεὶς, ἐνεχάραξε τὸ ἱερὸν Σύμβολον Ἑλληνιστὶ καὶ Λατινιστὶ ἐπὶ δύω ἀργυρῶν Πινάκων, ἀναστηλωθέντων κατὰ τὰς πύλας τοῦ ἐν Ῥώμῃ Ναοῦ τοῦ Ἀποστόλου Πέτρου πρὸς κοινὴν ἀνάγνωσιν, χωρὶς τῆς, καὶ ἐκ τοῦ Υἱοῦ, προσθήκης· ἐπέγραψε δὲ καὶ τόδε πάνδημον ὑπόμνημα, πρὸς τοὺς εἰσέπειτα ἐσομένους ἀΐδιον.

« Haec Leo posui, amore et cautela Orthodoxae Religionis· » τουτέστι. « Ταῦτα Λέων ἐθέμην κατὰ ζῆλον ἐπὶ προφυλακῇ τῆς Ὀρθοδόξου Πίστεως. » Ταύτην δὲ τὴν ἐπίσημον πρᾶξιν τοῦ Λέοντος μαρτυροῦσι καὶ ἐκ τῶν Δυτικῶν οἱ ἐφεξῆς, Σμάραγδος ὁ Ἀββᾶς, εἷς καὶ αὐτὸς τῶν παρὰ Καρόλου τοῦ Μάγνου ἀποσταλέντων πρὸς τὸν Πάπαν Λέοντα, Ἀναστάσιος ὁ Βιβλιοθηκάριος, Πέτρος ὁ Δαμιανὸς, Πέτρος ὁ Ἀβαιλάρδος, καὶ Πέτρος ὁ Λομβαρδὸς, καὶ ἐκ τῶν νεωτέρων ὁ Βαρώνιος, (1) ὁ Βελλαρμῖνος, ὁ Βίνιος, καὶ ὁ Πολωνὸς Κιχώβιος, ἐκ δὲ τῶν ἡμετέρων, ὁ Φώτιος. (2)

(1) Ὁ Βαρώνιος καὶ ἐν πολλοῖς ἄλλοις κατά τε εὐαρέστησιν καὶ κατὰ τὸ δοκοῦν αὐτῷ γράφων ἐλέγχεται, ἀλλ' ἐν τῷ ἀναπλάττειν τὸ, μηδαμῶς μὲν περὶ τοῦ δόγματος τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, περὶ δὲ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης τοὺς Λατίνους τότε διαφιλονεικῆσαι κατὰ τὴν ἐν Ἀκυϊσγράνῳ Σύνοδον, καὶ παρ' αὐτοῖς ἔτι τοῖς Λατίνοις κινδυνεύει καταγέλαστος εἶναι Βαρώνιος, ὡς ἐπὶ προδηλοτάτῳ ψεύδει ὑπ' αὐτῶν ἐξελεγχόμενος· οἷον, ὑπὸ Καρόλου Λεκοΐντου ἐν τοῖς Ἐκκλησιαστικοῖς χρονικοῖς τῶν Φράγκων Τόμ. Ζ'. ὑπὸ Ἀντωνίου Παγίου ἐν τῇ ἱστορικοχρονολογικῇ κριτικῇ τῇ εἰς τὰ Βαρωνίου χρονικά. Τόμ. Γ'. ὑπὸ Φραγκίσκου Παγίου, ἐν τῇ ἐπιτομῇ τῶν Ῥωμ. Ποντιφίκων Τόμ. Β'. καὶ ὑπὸ Γεωργίου Βαλχίου ἐν τῇ Ἱστορ. τοῦ ζητήματος τοῦ περὶ τῆς Ἐκπορεύσεως Κεφ. Β'.

(2) Ἐν τῇ πρὸς τὸν Ἀκυληΐας ἐπιστολῇ τοῦ Φωτίου (ἔνθα τῶν ἀργυρῶν τοῦ Λέοντος Πινάκων γίνεται μνεία) τοιάδε ὁ Δομινικανὸς Κεμβεφίσιος παρασημειοῦται σελ. 546 λέγων· « Metuebat forte Papa Leo Orientalium offensionem, quam nec ea dispensa tione Ecclesia Romana vitare potuit, et ut Schismatico-

Καὶ ἄλλος δὲ πάλιν Πάπας Ἰωάννης ὁ Α΄, ἐν ἔτει 872, ἔγραφε πρὸς τὸν ἀοίδιμον Φώτιον ὅτι, «Τὸ ἄρθρον τοῦτο (τῆς προσθήκης) οὐ μόνον οὐ λέγομεν, ἀλλὰ καὶ τοὺς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τοῦτο ποιῆσαι, παραβάτας τῶν θείων λόγων κρίνομεν, καὶ μεταποιητὰς τῆς Θεολογίας τοῦ Δεσπότου Χριστοῦ, καὶ τῶν Ἀποστόλων, καὶ τῶν λοιπῶν Πατέρων, οἳ συνελθόντες Συνοδικῶς παρέδωκαν τὸ ἅγιον Σύμβολον· καὶ μετὰ τοῦ Ἰούδα αὐτοὺς τάττομεν, ὅτι καὶ ταὐτὸν ἐκείνῳ τετολμήκασιν, οὐ παραδόντες εἰς θάνατον τὸ Κυριακὸν σῶμα, ἀλλὰ τοὺς πιστοὺς (οἵ εἰσιν ὡς μέλη τοῦ σώματος αὐτοῦ) διασχίσαντες καὶ διατεμόντες ἀλλήλων.» (Σημείωσαι τίνες οἱ σχίσται καὶ οἱ διατομεῖς· οὐχ ὁ Φώτιος καὶ ὁ Κηρουλάριος) κτλ. (Βλ. τὴν ἐπιστολὴν ταύτην τοῦ Πάπα Ἰωάννου ἐν τῷ Β΄, Τόμῳ τῶν Πανδεκτῶν, ἣν καὶ ὁ Κατόλικος Φλέουρυ ὡς γνησίαν ἐπιγινώσκει καὶ διομολογεῖ, Ἐκκλ. Ἱστορ. Τόμ. 7. 11, σελ. 438, κτλ.). Τελευταῖον καὶ εἰς τὴν ἐπὶ Φωτίου Οἰκουμενικὴν Σύνοδον, ἐν ᾗ παρῆσαν καὶ τοῦ Πάπα Ἐπίτροποι ἀπεσταλμένοι τρεῖς, Παῦλος καὶ Εὐγένιος Ἐπίσκοποι, καὶ Πέτρος πρεσβύτερος καὶ Καρδινάλιος, κατεδικάσθη παμψηφεὶ ἡ πανάθεσμος ἐν τῷ Συμβόλῳ προσθήκη. Ἀλλὰ τὴν προσθήκην ταύτην, ἣν σφοδρῶς ἐξήλεγξαν ὡς καινότομον, καὶ ἀπέβαλον ὡς ἀθέμιτον, καὶ κατάκριτον ἀπέφηναν, καὶ διὰ πανδήμων ὑπομνημάτων εἰς αἰῶνα κατεστηλίτευσαν Λέων ἐκεῖνος καὶ Ἰωάννης οἱ Πάπαι, καὶ πᾶσα ἡ Δυτικὴ Ἐκκλησία ἐν τῇ ἐπὶ Φωτίου Συνόδῳ· ταύτην, λέγομεν, τὴν προσθήκην ἡ νῦν Ἐκκλησία τῆς Ῥώμης ἀπὸ τοῦ Πάπα Βενεδίκτου (τῷ 1014) καὶ ἐφεξῆς πεπαῤῥησιασμένως ἀποδέχεται, κατὰ τὸν ὅρον τῆς ἐν Τριδέντῳ Συνόδου· (1) ὅθεν τοῦτο δείκνυσιν ἀπογυμνώντως καὶ τρανώ-

---

rum livore erroris in fide ex parte non notaretur.» Τουτέστιν, «Ἐφοβεῖτο ὁ Πάπας Λέων, μὴ προσκρούσῃ τοῖς Ἀνατολικοῖς, ὅπερ οὐδὲ διὰ τῆς τοιαύτης συγκαταβάσεως ἡ τῆς Ῥώμης Ἐκκλησία ἴσχυσε διαφυγεῖν, καὶ ἵνα μὴ παρὰ τῶν Σχισματικῶν διὰ φθόνον μῶμος αὐτῇ προστριβῇ, ὡς πλανηθείσῃ κατὰ τοῦτο τὸ μέρος περὶ τὴν πίστιν.» — Ἀλλὰ κατὰ δυστυχίαν εἰς ταύτην τὴν (ἣν λέγει) συγκατάβασιν οὐκ ἐπέμεινεν ἡ Λατινικὴ Ἐκκλησία· ὅθεν οὐδὲ τὸν μῶμον εἰς τέλος διέφυγε!

(1) Ἡ ἐν Τριδέντῳ τῆς Γερμανίας Σύνοδος περὶ τὸ 1543 ἔτος ὑπὸ τοῦ Πάπα Παύλου τοῦ Γ. συνέστη καὶ παρετάθη ἄχρι τοῦ 1562 ἔτους, Ποντιφικεύοντος Πίου τοῦ Δ΄. Ἐν ταύτῃ δὲ, πρὸς τῇ ἐν τῷ Συμβόλῳ προσθήκῃ ἐν τῷ ὅρῳ τῷ τῆς Πίστεως, τῷ γενομένῳ ὑπὸ τῆς Συνόδου ταύτης, προσετέθησαν καὶ τὰ ἐφεξῆς τῆς καινοτομίας, Πρῶτον, «Ὁμολογῶ μυστήριον ἀληθὲς, ὅλον τὸν Ἰησοῦν Χριστὸν καὶ ἀκέραιον μεταλαμβανόμενον ὑφ᾽ ἑνὶ καὶ μόνῳ τῷ εἴδει: Δεύτερον, Πιστεύω εἰς τὴν τῶν Συγχωρητηρίων (ἰνδουλγετσιῶν) δύναμιν, δοθεῖσαν παρὰ τοῦ Ι. Χ. τῇ Ἐκκλησίᾳ, καὶ τὴν τούτων χρῆσιν ὡς σωτήριον τῷ τῶν ἀνθρώπων γένει: Τρίτον, Ὑπόσχομαι τῷ τῆς Ῥώμης Ποντίφικι, καθὰ διαδόχῳ τοῦ Πέτρου καὶ ἐπιτρόπῳ Χριστοῦ, ἀληθῆ ὑποταγὴν καὶ τελείαν εὐπείθειαν, ἐφ᾽ ᾧ θεὸν ὄμνυμι.» — Ἄρθρα

τατα, ὅτι ἡ τῆς Ῥώμης Ἐκκλησία διὰ τοῦ ἄρθρου τούτου τῆς Πίστεως, οὐ μόνον τῆς Ἀνατολικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀρχαίας ὀρθῶς δογματιζούσης Ἐκκλησίας τῆς Ῥώμης, διήρηται καὶ διέσχισται. (1) Καὶ ταῦτα μὲν ἀπόχρη περὶ τοῦ Filioque (καὶ ἐκ τοῦ Υἱοῦ,) ἣν προσθήκην, ὡς ἀλλοτρίαν τῆς ἐν γένει κοινῆς καὶ συμφώνου τῶν πιστῶν ὁμολογίας, καὶ ἐν αὐτῇ τῇ Δυτικῇ Ἐκκλησίᾳ ἀπαράδεκτον (εἴγε καὶ Πάπαι αὐτοὶ ὁμοψύχῳ φρονήματι σὺν τοῖς ἡμῶν Ἀνατολικοῖς Πατράσι κατέκριναν, καὶ ὑπὸ ἀναθέματι ἀπηγόρευσαν,) ἡ Ἀνατολικὴ Ἐκκλησία καὶ πρώην καὶ νῦν καὶ ἀεὶ καταψηφίζουσα ἀποβάλλει. Ἓν ἔχει τὸ φρόνημα καὶ τὸ αὐτὸ, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς, καὶ πρὸ τοῦ σχίσματος καὶ μετὰ τοῦτο. Εἷς ὁ τῆς εὐσεβείας αὐτῆς ἀπαρασάλευτος ὅρος. Τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς τὴν καθ' ὕπαρξιν ἔχει πρόοδον. Τοῦτο παρέλαβε παρὰ τοῦ Κυρίου « Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Τοῦτο τὸ Δόγμα, παρὰ τοῦ Σωτῆρος Χριστοῦ ἀποκεκαλυμμένον αὐτῇ, καὶ μέχρι τοῦδε πρεσβεύει μετὰ τῶν Ἀνατολικῶν αὐτῆς τέκνων, καὶ μέχρι συντελείας ἱερῶς τηρήσει τῇ καλῇ ὁμολογίᾳ ἀπαρασαλεύτως ἐμμένουσα.

Ὁ δὲ κατὰ τὸν Θεῖον Ἀπόστολον ἐπιεικὴς ὀφείλων εἶναι καὶ ἄμαχος, ὡς Ἐπίσκοπος, ἔτι δριμύτερον φερόμενος καὶ πλύνων τὸ Γραικικὸν Ὀρθόδοξον Ἔθνος μώμοις καὶ ὕβρεσιν ἀκολάστοις, ἐπάγει καὶ τὰ ἐφεξῆς.

Πρότασις Θ'.

« Ἡ ὀρθὴ παρατήρησις καὶ ὁ καιρὸς, τὰ ὁποῖα ἀλλάζουσι συχνάκις τὰς διαθέσεις ὁλοκλήρων λαῶν, καὶ μάλιστα αἱ μάστιγες τοῦ Θεοῦ ἔπρεπε νὰ διδάξωσι τὸ Γραικικὸν Ἔθνος, ὥστε νὰ ἐννοήσῃ ὅτι ἔπταισε, καὶ παρώργισε τὸν ἀπειροδίκαιον Θεὸν διὰ τοῦ χωρισμοῦ του ἀπὸ τὸ ἐπίλοιπον τῆς χριστιανωσύνης, καὶ ὅτι αἱ προφάσεις

πάντη ξένα καὶ ἀλλότρια ταῦτα Πίστεως, παραβαλλόμενα ὡς πρὸς τὴν ὁμολογίαν τῆς ἐν τῷ Ἱερῷ Συμβόλῳ Πίστεως τῆς Καθολικῆς Ἐκκλησίας, τουτέστι τῆς ἐν Νικαίᾳ πρώτης καὶ τῆς ἐν Κωνσταντινουπόλει δευτέρας Οἰκουμενικῆς Συνόδου, καὶ καινοφανῆ καὶ παρείσακτα, ὁρισθέντα αὐθαιρέτως καὶ αὐτογνωμόνως, ὡς ἐν Συνόδῳ τάχα Οἰκουμενικῇ (καθὼς λέγουσι ταύτην τὴν Τριδεντινήν). Ἀλλ' Οἰκουμενικὴ Σύνοδος οὔτ' ἔστιν, οὔτε λέγεται, ἡ μὴ γενομένη κατὰ συναίνεσιν καὶ ἕνωσιν ἁπάσης τῆς καθόλου καὶ Οἰκουμενικῆς Ἐκκλησίας.

(1) Τὸν ὑπὸ πάντων τῶν θείων Πατέρων, Ἀνατολικῶν καὶ Δυτικῶν, ἔλεγχον τῆς αἱρετικῆς ταύτης προσθήκης διεπραγματεύσατο εἰς πλάτος ὁ ἀοίμνηστος Ζοερνικάβιος, οὗτινος τὴν Συγγραφὴν ἐξελλήνισεν ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις, Τρόπαιον Ὀρθοδοξίας εἰς αἰῶνας ἀκατάλυτον καὶ πληρέστατον.

τῶν κατὰ τῆς Καθολικῆς Ἐκκλησίας κατηγοριῶν εἶναι μάταιαι καὶ οὐτιδαναί » κτλ.

Ἀντίθεσις.

Ἡ ὀρθὴ διάσκεψις καὶ ὁ χρόνος μεταβάλλει, ναὶ, τὰς ἠθικὰς καὶ κοσμικὰς διαθέσεις τῶν λαῶν. Ἀλλ' ὅταν μεταβάλλῃ καὶ τὰς θρησκευτικὰς καὶ Δογματικὰς, ἀποπλανωμένας τῶν Θεοπαραδότων καὶ ἀρχικῶν βεβαιώσεων, τότε ἡ τούτων μεταβολὴ μεταβάλλει καὶ νοθίζει τὸ γνήσιον τοῦ Θρησκεύματος. Τὸ δὲ τῶν Ἑλλήνων Ἀνατολικὸν Ὀρθόδοξον Γένος ἐπὶ μέγα σεμνύνεται, διότι πρῶτον Ἐθνῶν ἁπάντων αὐτὸ δεξάμενον τὸ τῆς εἰς Χριστὸν Πίστεως Θεῖον κήρυγμα, καὶ πρῶτον αὐτὸ τῷ τοῦ Χριστοῦ ὀνόματι ἐπονομασθὲν, διετήρησεν ὅσα παρέλαβε παρά τε τῶν Ἀποστόλων καὶ τῶν Πατέρων Δόγματα καὶ παραδόσεις ἀπαράτρωτα, καὶ ἀνέπαφα, καὶ ἀναλλοίωτα, καὶ ἀπαρασάλευτα, μηδὲν καινοτομῆσαν, ἢ προσθέσαν, ἢ ἀφαιρέσαν, ἐμμένον δὲ καθ' ὅλας τὰς τοῦ χρόνου περιπετείας καὶ μεταβολὰς, στερεὸν καὶ ἀμετάβλητον ἐν οἷς οἱ Πατέρες ἔθεντο ὁρίοις, καὶ ἀτενῶς προσέχον, μήποτε, δι' ἀθεμίτου καινοτομίας, ἐπὶ θάτερα ἐκκλίνῃ, καὶ εἰς ἀνοδίας ἐμπέσῃ, καὶ ἐκτραχηλισθῇ κατὰ βαράθρων ἀπωλείας. Ὅθεν περιττῶς ἡμᾶς συνεβούλευσεν ὁ Ἀρχιεπίσκοπος εἰς ἔννοιαν ἐλθεῖν, ὅτι πταίσαντες ἐμαστιγώθημεν παρὰ τοῦ δικαιοτάτου Θεοῦ, ὡς διαχωρσθέντες τῶν Δυτικῶν διὰ *προφάσεων* (λέγει) *ματαίων καὶ οὐτιδανῶν.*

Πῶς, ὠ'γαθὲ, προφάσεις ματαίας καὶ οὐτιδανὰς λογίζῃ τὰ ἀνοσιώτατα καὶ βαρύτατα παρανομήματα καὶ κακοδοξάσματα, οἷον, τὴν εἰς τὸ Δόγμα τῆς Παναγίας Τριάδος φρικτὴν βλασφημίαν, τὴν εἰς τὰ Θεῖα Μυστήρια, τοῦ Βαπτίσματος, τῆς Εὐχαριστίας, τοῦ Γάμου, πανάθεσμον καινοτομίαν, τὴν ἐπὶ τῆς Ἐκκλησίας, τοῦ σώματος τοῦ Χριστοῦ, δυναστικὴν τοῦ Πάπα κατεξανάστασιν καὶ κατεπέμβασιν; (τὰ δὲ τούτοις ἐπισυναφθέντα παραλείπομεν). Προφάσεις ματαίας ταῦτα λογίζῃ, τὰ τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, τὴν ἐν διηνεκεῖ συμπνοίᾳ καὶ συμφωνίᾳ διὰ τοσούτων αἰώνων θεολογοῦσαν καὶ ἱερουργοῦσαν τὸ αὐτὸ εὐσεβὲς καὶ γνήσιον τῆς θεοπαραδότου Πίστεως Δόγμα, διαῤῥήξαντα καὶ διαχωρίσαντα; Πότερον τὸν συλλογισμὸν τοῦτον καλέσωμεν; κατ' ἀπάτην ἀκουσίαν ἀσύνθετον; ἢ κατὰ σοφιστικὴν τερθρείαν παράλογον;

Περὶ δὲ τῶν ἐφ' ἡμῖν μαστίγων Θεοῦ ἀπαντῶμεν, ὅτι, περὶ μὲν τῶν εἰς τὰς ἐντολὰς τοῦ Θείου νόμου ἐξημαρτημένων, ὁμολογοῦμεν, ὅτι ἡμάρτομεν καὶ ἁμαρτάνομεν καθ' ἑκάστην (μόνος ὁ Πά-

πας λέγεται ἀναμάρτητος)· καὶ λέγομεν δὲ μετὰ τῶν Ἀποστόλων, ὅτι « κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Ὃν γὰρ ἀγαπᾷ Κύριος ἐλέγχει καὶ παιδεύει. » « Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει Πατήρ; » Περὶ δὲ τοῦ ὅτι παιδευόμεθα διὰ τὸν χωρισμὸν τὸν ἀπὸ τῆς Δυτικῆς Ἐκκλησίας, ἀποφάσκομεν. Ἄπαγε! « εἰ γὰρ καὶ ἡμάρτομεν, ἀλλ' οὐκ ἀπέστημεν ἀπὸ τῆς Ὀρθοδοξίας. » Ταύτην ἔχομεν μάλιστα ἐγγυήτριαν τοῦ Θείου ἐλέους εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, περὶ ὧν ἡμᾶς ὠνείδισεν ὁ Ἀρχιεπίσκοπος. Τὴν ἕωλον λοιδορίαν ταύτην, ἣν ἐπαναλαμβάνει καθ' ἡμῶν καὶ οὗτος ὁ Συντάκτης τοῦ φυλλαδίου, ἔτι κατὰ τὴν κατάλυσιν τῆς Ἀνατολικῆς ἡμῶν Αὐτοκρατορίας, οἱ τῶν Λατίνων παῖδες ἀπετόξευσαν καθ' ἡμῶν· ἑπομένως ἀνεμάσσησαν καὶ ἄλλοι πολλοί, μεθ' ὧν καὶ ὁ Πολωνὸς Ἰησουΐτης Κιχώβιος. Ἀλλ' ἐὰν οἱ ἄνθρωποι οὗτοι ἐκ τῆς τοῦ κόσμου προσκαίρου εὐκληρίας, καὶ τῆς κατὰ τὸν βίον εὐπραγίας, κρίνωσι καὶ τοῦ Δόγματος τὴν ὀρθότητα, λανθάνονται· εἰ δὲ μή, λεγέτωσαν λοιπόν, ὅτι καὶ οἱ ἐπὶ τῶν Ἐθνικῶν καὶ τῶν Ἀρειανῶν καὶ Εἰκονομάχων διωκτῶν παιδευόμενοι καὶ μαρτυροῦντες ὀρθόδοξοι, ἐμαστίζοντο ὑπὸ Θεοῦ, ὡς χωριζόμενοι τῆς ἑτεροδοξίας! Ἀλλ' ἂν θέλῃς, ἵνα ἴδῃς, ὦ τῶν θείων κριμάτων ἐρευνητά, ποίας φοβερὰς καὶ φανερὰς ποινὰς καὶ δυστυχίας ἐπέθηκε τὸ Θεῖον εἰς τοὺς χωρισθέντας ἀπὸ τῆς πατρῴας ὀρθοδοξίας, τὴν σὴν Ἐκκλησίαν σκόπει, τὴν Λατινίδα. Ἆρά γε μικρὰ τῆς θείας παραχωρήσεως τιμωρία σοι φαίνεται, τὸ ὅτι ὁ παντεξούσιος αὐτῆς Κυρίαρχος ἀποβάς, ἐσκληρύνθη ἐν ταῖς καινοτομίαις, καὶ συνάψας τὴν πνευματικὴν ἐξουσίαν μετὰ τῆς κοσμικῆς, ἐμέθυσε τὴν γῆν ἐξ αἱμάτων ἀθῴων, καὶ κατεξανέστη ἐν ὅπλοις κατὰ Βασιλέων ὑπὸ Θεοῦ τεταγμένων, καὶ ἐπλήσθη ἡ Δυτικὴ Εὐρώπη μυρίων συμφορῶν καὶ σφαγῶν διὰ τὴν κοσμικὴν φιλαρχίαν τῶν Παπῶν καὶ Ἀντιπαπῶν; Ἀνάγνωθι, κύριε Ἰλλερῶ, τὰς ἱστορίας τοσούτων ὁμογενῶν σου καὶ ὁμοδόξων σοφῶν, οἵτινες τὰς συμφορὰς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, τάς τε ἄλλας καὶ τὰς ἐκ τῶν Ἱεροκριτηρίων καὶ τῶν Ἰησουϊτῶν σου, πικρῶς ἐξετραγῴδησαν. Ἰδὲ, πόσαι Ἐπαρχίαι, καὶ ὁλόκληροι Βασιλεῖαι, καὶ Ἔθνη ὁλόκληρα διὰ Λουθήρου καὶ Καλβίνου ἀπεσπάσθησαν ἀπὸ τῆς Δυτικῆς Ἐκκλησίας. Πόσαι δὲ πάλιν ἐκ τούτου ἀνεφύησαν παρὰ τοῖς Δυτικοῖς αἱματώδεις διαμάχαι καὶ διαστάσεις. Καὶ πόσαι, τέλος, χιλιάδες ἐκ ταύτης τῆς αἰτίας ἀπωλέσθησαν, πολὺ πλείονες πάντως, παρ' ὅσους οἱ Ὀθωμανοί, ἐπὶ τῆς κατακτήσεως αὐτῶν, εἰσβαλόντες καθ' ὅλην τὴν Ἑλλάδα καὶ Μακεδονίαν καὶ Θράκην καὶ Βουλγαρίαν, μαχαίρας ἔργον ἐποίησαν. Πῶς δὲ πάλιν κατεστράφησαν ὀλέθρῳ παντελεῖ παραδο-

θέντες, καὶ μηδὲ μνήμης κἂν τιμίας ἀξιούμενοι, οἱ τὸ κατὰ σὲ γνήσιον καὶ τῆς ἀνθρωπίνης εὐδαιμονίας πρόξενον Δυτικὸν φρόνημα δι' ὅπλων καὶ σφαγῶν φυτεῦσαι ἐπιχειρήσαντες Σταυροφόροι, καὶ τοσούτων λαῶν ἀπωλείας παραίτιοι γενόμενοι. Ἰδοὺ, ποίας εὐδαιμονίας ἐχάρισεν εἰς τὰ ἴδια αὐτῆς τέκνα ἡ ἀναμαρτησία τῆς Ῥωμαϊκῆς Καθέδρας. Παραλείπομεν δὲ καὶ ὅσα ὑπέστη δεινὰ ἡ Δυτικὴ Ἐκκλησία παρὰ τῶν ἰδίων αὐτῆς τέκνων, λῃγούσης τῆς παρελθούσης Ἑκατονταετηρίδος. Καὶ σὺ λοιπὸν ὁ Δυτικὸς κάθῃ κατακρίνων ὑβριστικῶς τὸ τῶν Γραικῶν Ὀρθόδοξον Ἔθνος, ὅτι προσέκρουσε τῷ Θεῷ καὶ ἐπαιδεύθη, εἰς τεκμήριον τοῦ ἀπὸ τῆς Δυτικῆς Ἐκκλησίας χωρισμοῦ; Ὡς ἂν ηὐτύχει ἀληθῶς ἡ Δυτικὴ Ἐκκλησία! Ἔπειτα, καὶ ἂν ηὐτύχει, ἔπρεπε σὺ ὁ Ἐπίσκοπος νὰ καυχᾶσαι, κατεπεμβαίνων εἰς τοὺς παρὰ σοὶ νομιζομένους δυστυχεῖς; Ἐνθυμεῖσαι πάντως τί ἀπεκρίθη τὸ Πνεῦμα τῆς θείας Ἀποκαλύψεως (κεφ. γ'.) εἰς ἐκεῖνον τὸν Ἐπίσκοπον, ὅςτις ἐκαυχᾶτο λέγων «Πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω.» Ἐνθυμεῖσαι καὶ ὅτι «ἔστιν εὐτυχία χείρων πάσης κακοδαιμονίας.» Πότε, κύριε Ἰλλερῶ, νομίζεις προσφιλέστερον καὶ οἰκειότερον τῷ Θεῷ τὸν Ἀπόστολον Πέτρον (ἐφ' ᾧ μάλιστα καυχᾶσαι), ὅτε ἔπασχεν ὑπὲρ Χριστοῦ, ῥαβδιζόμενος καὶ φυλακιζόμενος, ἢ ὅτε ἔμενεν ἥσυχος, καὶ (ὡς ἐνόμιζεν) ἀσφαλὴς ἐν τῇ αὐλῇ τοῦ Ἀρχιερέως, *ἑστὼς καὶ θερμαινόμενος* καὶ ἀρνούμενος τὸν Σωτῆρα; Ἡμεῖς δὲ, καίτοι δόξης ἐπιγείου κράτος στερηθέντες, τὸ ἀρχαῖον ὅμως καὶ προγονικὸν ἡμῖν καὶ μέγιστον καὶ μόνον καλὸν, τὸ περὶ Θεοῦ καὶ τῶν θείων Δογμάτων καὶ Κανόνων ὀρθὰ φρονεῖν, κατὰ θείαν πάντως εὐδοκίαν, διεκρατήσαμεν καὶ κατέχομεν, ὡς χρῆμα ἀναφαίρετον καὶ πάντων ἀγαθῶν τιμαλφέστατον καὶ ἀνεκτίμητον. Τοῦτο δὲ, πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως, διὰ τὴν ἐπὶ ξυροῦ ἀνάγκην, μηχαναῖς ἁπάσαις ἐπηρεαζόμενον, διεκινδύνευεν ἂν, εἰμὴ, Θεοῦ νεύσαντος, ἡ Ὀθωμανικὴ χεὶρ ἄλλως προκατελάβετο φθάσασα, καὶ τοὺς προσχήματι χριστιανωσύνης τὴν Ὀρθοδοξίαν ἐπιβουλεύοντας ἐξεδίωξε. Μετὰ δὲ τοῦτο, τοῦ Ἔθνους ἡμῶν εἰς δυσπραγίαν ὑποπεσόντος, ἡ Ἀνατολικὴ ὅμως Ἐκκλησία οὐδὲν τῆς ἀνέκαθεν μετέβαλε καταστάσεως. Οὐ γὰρ μόνον ἡ Κωνσταντινούπολις, ἀλλὰ καὶ ἡ Ἀλεξάνδρεια, καὶ ἡ Ἀντιόχεια, καὶ ἡ Ἱερουσαλὴμ τὴν σειρὰν τῶν Πατριαρχῶν ἀπαρασαλεύτως διεφύλαξαν, μὴ θελήσαντος τοῦ Ὀθωμανικοῦ Κράτους τὴν τῶν Ἐκκλησιῶν παρασαλεῦσαι τάξιν, καὶ τῶν Προεστώτων τοὺς Ἱεροὺς Θρόνους ἀποστερῆσαι. Τοῦτο, μόνον οἱ ὑπὸ τοῦ Πάπα στρατολογηθέντες Σταυροφόροι ματαίως μὲν, ἀλλ' ὅμως ἐπεχείρησαν καταπρᾶξαι, οἱ λόγῳ μὲν, ὑπὲρ τῆς Πίστεως,

ἔργῳ δὲ πρὸς ὄνειδος καὶ καταισχύνην τοῦ χριστιανισμοῦ στρατευσάμενοι, καὶ, παρὰ πάντας τοὺς πώποτε γενομένους τῆς Ἀνατολικῆς Ἐκκλησίας διώκτας, τὰ αἴσχιστα καὶ ὠμότατα κακουργήσαντες. Ἀλλὰ καὶ τούτων ἐσβέσθη τὸ φρύαγμα· καὶ ἀπώλετο μετ' ἤχου ἡ ἀλλαχοῦ τε πολλαχοῦ καὶ κατὰ τὴν Παλαιστίνην διὰ τοσούτων φόνων εὐτυχήσασα δῆθεν Παπικὴ δυναστεία, παντελῆ καταστροφὴν λαβοῦσα, γέρας τῆς κατὰ τῶν Ὀρθόδοξων ἐπιδρομῆς. Ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία καὶ ἐπὶ τῆς Ὀθωμανικῆς ἐξουσίας τὸ ἑαυτῆς ἀμετάβλητον ἀποσώζει σχῆμα, καὶ ὁ Κλῆρος τὰ τοῦ βαθμοῦ ἀκωλύτως ἐπιτελεῖ, καὶ ἑκασταχοῦ τὰ Θεῖα Ἱερουργεῖται μυστήρια, καὶ συλλήβδην, ὅσα τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ ἐγγυᾶται ῥοπὴν, καὶ ὅσα πρὸς αὐτὸν φέρειν δύναται, πάντα παρ' ἡμῖν ἀμείωτα διασώζεται, ἄνευ κομμάτων καὶ διαιρέσεων. Καὶ χάρις τῷ προνοητῇ ἁγίῳ Θεῷ, ὅτι τῆς σωματικῆς εὐετηρίας ἐκπεσόντες διὰ φαυλότητα βίου, τῶν εἰς σωτηρίαν φερόντων οὐκ ἐστερήμεθα.

Πρότασις Ι'.

« Ἡ Ἀνατολικὴ Ἐκκλησία, λέγει, καταστρέφει μίαν ἀπὸ τὰς κυριωτέρας βάσεις τῆς χριστιανικῆς ἠθικῆς, τὸ ἀδιάλυτον τοῦ δεσμοῦ τῆς ὑπανδρίας.... » Καὶ παρακατιὼν ἀποφαίνεται ταῦτα· « Πλὴν τὴν σήμερον παρ' αὐτῇ ἡ ὑπανδρία διαλύεται κατὰ τὴν θέλησιν τῶν συζύγων, καὶ τὴν ἰδιοτροπίαν τῶν ποιμένων της. »

Ἀντίθεσις.

Ἡ Ἀνατολικὴ Ἐκκλησία αὐστηρῶς ἀείποτε διεφύλαξε τὴν περὶ συνοικεσίων πατροπαράδοτον διδασκαλίαν, τὴν διαιροῦσαν τὰ τῆς συγγενείας εἴς τε τὴν ἐξ αἵματος ὁριζομένην μέχρι τοῦ ἑβδόμου βαθμοῦ, καὶ τὴν ἐξ ἀγχιστείας μέχρι τοῦ ἕκτου, ἐπίσης καὶ τὴν τοῦ ἁγίου Βαπτίσματος μέχρι βαθμοῦ τρίτου. Τὴν οὖν τοιαύτην βάσιν τῆς τῷ μυστηρίῳ πρεπούσης κατὰ Χριστὸν ἠθικῆς διακρατοῦσα καὶ σεβομένη, οὔτε συνάπτει παρανόμως τὰ συνοικέσια, οὐδὲ ταῦτα διαχωρίζει προχείρως καὶ εὐκόλως, οὐδὲ κατὰ θέλησιν καὶ ἰδιοτροπίαν ἑκάστου, ὡς ἐπιπολαίως κρινομένη διαβάλλεται, παρεκτὸς τῆς κατὰ τὴν Εὐαγγελικὴν ἀπόφασιν μεμαρτυρημένης αἰτίας ἀποδειχθείσης. Ἀλλὰ καὶ τὰς ἀθεμίτους, καὶ τοὺς εἰρημένους τῆς συγγενείας βαθμοὺς καταπατούσας, τυχὸν, γαμικὰς συναφείας, οἱ Ποιμένες τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀκυροῦντες διασπῶσιν, ὡς ἀπηγορευμένας καὶ κεκωλυμένας παρὰ τῶν ἱερῶν Κανόνων. Εἰ δέ

ποτε καὶ ζωῆς ἐπιβουλὴ παρὰ τοῦ ἑνὸς μέρους πρὸς τὸ ἕτερον ἐξ ἀνιάτου δυσαρεσκείας συμβῇ, καὶ τότε οὐκ ἀδιαφοροῦσιν οἱ Ποιμένες τῆς Ἐκκλησίας. Καὶ πρὸς μὲν διάζευξιν οὐκ εὐθέως χωροῦσιν, ἀλλ' ἐξοικονομοῦσιν ἐμβριθῶς ταύτην διὰ μακρᾶς, ὡς δυνατὸν, ἀναβολῆς, καὶ τοπικῆς διαστάσεως. Ὅταν δὲ ἴδωσιν ἐν τούτῳ τῶν πνευματικῶν συμβουλῶν αὐτῶν καὶ προτροπῶν τὸ ἄπρακτον πρὸς εἰρήνην καὶ ἕνωσιν, προλαμβάνοντες, διὰ τὸ ἀδιάλλακτόν τινων, τὰ δεινότερα καὶ ὀλεθριώτερα, μετὰ λύπης ψυχῆς διαχωρίζουσι τελευταῖον αὐτοὺς καὶ ἄκοντες (1). Ἀλλ' ἐν τῇ Δύσει, ὅπου αὐστηρῶς διατηρεῖται ἡ εὐνομία ἐν εὐσταθείᾳ καὶ πειθαρχίᾳ, καὶ ἔνθα οὐδὲν βίαιον ἢ κατεπεῖγον, ἆρά γε διαφυλάττεται (καθὼς διετηρεῖτο μέχρι καὶ τοῦ ΙΒ΄. αἰῶνος) ἡ συγχέουσα ἐξ αἵματος τὴν φύσιν πρὸς ἑαυτὴν συγγένεια; Ἆρά γε τὰ ἐν τοῖς τοιούτοις δὲν δεσμεύει καὶ λύει, ὅσα ἂν, κατὰ τὸ δὴ λεγόμενον, νεφελώσοι καὶ ὑδατώσοι πρὸς τὸ δοκοῦν, ἡ *ὑπεράνω καὶ ἐναντίον καὶ ἐκτὸς παντὸς δικαιώματος* διακηρυχθεῖσα τῆς Ἐκκλησιαστικῆς ἀρχῆς ἀκρώρεια; (2) Τὴν περὶ τοῦ μυστηρίου τοῦ Γάμου ὀλιγωρίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας ψέγει συκοφαντικῶς ὁ κύριος Ἰλλερώ. Ἀλλὰ τίς ἄλλος ἐξουθένησεν ὡς βέβηλον τὸ Θεῖον τοῦτο μυστήριον, εἰμὴ ἡ Δυτικὴ Ἐκκλησία, ἥτις τοῦτο ἀπηγόρευσε καὶ ἀπέκλεισεν ἀπὸ πάντων ἐν γένει τῶν ἰδίων αὐτῆς Ἱερέων καὶ Κληρικῶν; ὡς ἂν ὑπῆρχεν ἐπίμωμος ὁ τίμιος καὶ ἀμίαντος Γάμος εἰς τοὺς ἐκλεξαμένους αὐτὸν, κωλύων αὐτοὺς ἀπὸ τῆς Ἱερωσύνης!

Πρότασις ΙΑ΄.

Τὸν ἰὸν τῆς πικρίας κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὁ ῥηθεὶς δριμύτερον καταχέων, καὶ διατωθάζων ταύτην, καὶ καταμωκώμενος λέγει. « Ἡ Ἀνατολικὴ Ἐκκλησία ἀποσυρμένη, ὡς πρὸς τὰς ἄλλας, » (ποίας ἄλλας; μήπως ἐννοεῖ ὁ συγγραφεὺς καὶ τὰς Προτεσταντικὰς, ὡς ἂν μέλη καὶ αὐτὰς ἀγαπητὰ τῆς Δυτικῆς Ἐκκλησίας;) εἰς τὴν μοναξίαν, ὅπου τὸ σχίσμα τὴν ἔῤῥιψε, καθημερινῶς

(1) Ἀλλ' ἐπὶ περιστάσεως σεβαρᾶς τινος αἰτίας, καὶ μίσους ἐντεῦθεν καὶ ἀποστροφῆς ἀδιαλλάκτου, ἐν μέσῳ συζύγων δυτικῶν ἀναφυείσης, καλὴ ἄρα καὶ σύμφορος κέκριται ἡ ἀπέραντος τοιαύτη καὶ ἀδιάλυτος τούτων διάστασις; Ὦ πόσα καὶ οἷα ἐκ τούτου προκύπτουσιν ἀτοπήματα, ἐκτραχηλίζοντα ἀμφοτέρους εἰς τὸ τῆς φαύλης διαγωγῆς βάραθρον....

(2) « Papa est supra Jus, contra Jus, et extra Jus » ἀποφαίνεται ὁ Βελλαρμῖνος ἐν τοῖς περὶ τοῦ Ποντίφηκος τῆς Ῥώμης. Τόμ. Α΄. Βιβλ. 4.

χάνει τὰ μέσα τοῦ νὰ σηκωθῇ, διότι ἀφανίζεται ἐπὶ τὸ μᾶλλον ἡ Ἐκκλησιαστική της ἐξουσία, καὶ ὑποπίπτει καὶ ὑποδουλοῦται εἰς τὴν πολιτικὴν ἐξουσίαν » κτλ.

Ἀντίθεσις.

Ἀποχρώντως ἀνωτέρω ἀνεπτύχθη τὸ, ὅτι καρπὸς τῶν καινοτομιῶν ὑπάρχει τὸ σχίσμα, τὸ λυπηρῶς διασχίσαν τὰς δι' ἑκτακοσίων καὶ μικρὸν ἐπέκεινα χρόνων, τῇ ἑνώσει καὶ ὁμονοίᾳ συνηρμοσμένας ὁμοτίμους ἀδελφὰς καὶ ὁμοδόξους δύω Ἐκκλησίας. Τίνες δὲ οἱ πρωταίτιοι τοῦ σχίσματος; οἱ τὰ πάτρια τηρήσαντες ὀρθόδοξοι Γραικοί; ἢ οἱ, δι' ὧν ἐφεῦρον ἐπιχειρημάτων καὶ συλλογισμῶν, τάτε ἄλλα καὶ τὴν φρικτὴν πρὸ πάντων προσθήκην ἐν τῷ Συμβόλῳ παρεισάξαντες, καὶ ἀποσχισθέντες τῆς ἀληθείας, καὶ τῆς ἑνότητος ἐκπεσόντες; Ἡ κατὰ τὴν Ἑλλάδα φωνὴν λέξις, *σχίσμα*, σαφὴς ἐςι τοῦ πράγματος ἔλεγχος. Ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία οὐκ ἔστι μόνη καὶ εἰς *μοναξίαν*· ἔχει γὰρ μεθ' ἑαυτῆς τὴν Κεφαλὴν αὐτῆς, τὸν Χριστὸν, τὸν ἐπουράνιον αὐτῆς Νυμφίον, ὅςτις μένει μετ' αὐτῆς εἰς τοὺς αἰῶνας, κατὰ τὴν θείαν αὐτοῦ ἐπαγγελίαν. « Ἰδοὺ (φησι) μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Ἄλλοι τὴν μοναξίαν φοβείσθωσαν, ὅσοι ἐσεβάσθησαν ἄλλον παρὰ τὸν Χριστὸν κεφαλὴν τῆς Ἐκκλησίας. Ἡ Ἀνατολικὴ Ἐκκλησία ἕστηκεν ἀκράδαντος, ὡς ἑδραζομένη οὐκ ἐπὶ τῷ Πέτρῳ καὶ τοῖς τούτου μὴ κατὰ τὴν τούτου ἀποστολὴν καυχωμένοις διαδόχοις, ἀλλ' ἐπὶ τοῦ Πέτρου τὴν καλὴν ὁμολογίαν, τὴν Πέτραν τῆς Πίςεως, καὶ «Πύλαι ᾅδου (αἱ κατὰ τῆς εὐσεβείας καὶ Ὀρθοδοξίας αὐτῆς ποικίλαι ἐπιβουλαὶ καὶ καταδρομαὶ, καὶ μάλιστα παρὰ ψευδαδέλφων), οὔτε κατίσχυσαν, οὔτε κατισχύσουσιν αὐτῆς εἰς αἰῶνας.» Πῶς λοιπὸν αὕτη (καθὼς λέγει ὁ κατήγορος) ἀποβάλλει ὁσημέραι τὰ μέσα, δι' ὧν δύναται ἀνορθωθῆναι; Ἀλλ' ἴσως ὁ κύριος Ἰλλερῶ ἀποβολὴν τῶν πρὸς ἀνόρθωσιν μέσων ἐννοεῖ τὴν ἀποβολὴν τῆς πλάνης, καὶ ἀποφυγὴν τῆς ὑποταγῆς εἰς τὸν δῆθεν σωτήριον ἡμῖν Δυτικὸν λόγον, ὡς ἂν τάχα μηδενιζομένης τῆς πνευματικῆς αὐτῆς ἐξουσίας ὑπὸ τῆς πολιτικῆς, « ἧς ὄργανον (λέγει) ταύτην πολιτικόν. » Ταῦτα καὶ τὰ τούτοις ὅμοια ἐξερεύγεται πλατυτάτῳ στόματι ὁ ἔπηλυς οὗτος ἐν μέσῳ ἡμῶν! καὶ ἡμεῖς τὰς ὕβρεις οἴκοι καθήμενοι ὑφιστάμεθα, καὶ καρτεροῦμεν, ἐλεοῦντες τὸν ἄνθρωπον, καλοῦντα τοὺς ἑστῶτας πρὸς ἀνόρθωσιν, καὶ εὐτυχίαν, δηλονότι τὴν ἐκ τῆς δειλαίας εἰς τὴν Δυτικὴν διδασκαλίαν ὑποκλίσεως καὶ ὑποταγῆς, καὶ ἐνθυμούμενοι τὸ πάντολμον ἐκεῖνο τὸ « Ταῦτα πάντα σοι δώσω » κτλ.

Ἀλλ᾽ ἡ Ἀνατολικὴ Ἐκκλησία, ὦ κατήγορε, οὐδ᾽ ἀνάγκην ἔχει ἀνεγέρσεως, οὐδ᾽ ἐπίγνωσιν ἑτεροδιδασκαλίας, ὡς ἐντελεῖ τῇ πληροφορίᾳ πεπεισμένη οὖσα περὶ τοῦ ἐκ θείας ἐπιπνοίας ὀρθοῦ καὶ ὑγιοῦς αὐτῆς Δόγματος, ὅπερ ἐξ αὐτῶν τῶν Ἀποστόλων καὶ τῶν Θεηγόρων Πατέρων καὶ Διδασκάλων παραλαβοῦσα, καθὰ κειμήλιον παρακατατεθὲν αὐτῇ καὶ ἐμπιστευθὲν, στεῤῥῶς τὸν ἅπαντα χρόνον ἀπαρατρώτως διετήρησε μέχρι τούτου. Αὕτη ὑπὸ τοῦ ἀοράτου Θεοῦ ὁρατῶς περιφρουρουμένη, ἐν ὅλῃ τῇ ῥαγδαίᾳ φορᾷ τῶν περιστάσεων, οὐδὲν, οὐδὲν τῶν εὐσεβῶς ἀνέκαθεν πρεσβευομένων παρέτρεψεν, ἢ ἀπεβάλετο, ἢ ἀφήρηται, χαίρουσα καὶ μετὰ τὴν κοσμικὴν ἅλωσιν, εἰρήνην πᾶσαν καὶ ἀσφάλειαν, καὶ τοιαύτην θρησκευτικὴν ἐλευθερίαν καὶ ἄνεσιν, ἣν οὐδαμῶς ἀπήλαυσαν οἵ τε ἐν Νεαπόλει (οἵτινες ἀναγκάζονται δέχεσθαι εἰς τὴν ὀρθόδοξον αὐτῶν Ἐκκλησίαν Ἱερεῖς χειροτονουμένους ὑπὸ Λατίνου ἀρχιερέως τοῦ ψευδωνύμου Λαμψάκου, περὶ οὗ προείπομεν σημ. 1.), καὶ οἱ ἐν Μεσσήνῃ τῆς Σικελίας, καὶ οἱ ἐν τῇ κατὰ τὴν Ἀπουλίαν τῆς Καλαβρίας Βαρλέττᾳ (τὸ πάλαι παρὰ Στράβωνι, Βάριτον), καὶ οἱ ἐν Ἀγκῶνι, καὶ ἀλλαχοῦ, ὅπου τὰ τῆς Ῥώμης ἀκμάζουσιν, εὑρισκόμενοι Ἀνατολικοὶ Γραικοὶ, ὧν αἱ ἰδιόκτητοι Ἐκκλησίαι, ἐναντίον τοῦ κοινοῦ δικαιώματος, πρὸ δύω χρόνων αἴφνης ἐκπορθηθεῖσαι κατεσχέθησαν, νόμῳ τοῦ ἰσχυροτέρου, αὐτοῖς ἱεροῖς σκεύεσι, πρὸς κοινὴν ἔκστασιν.

Τελευταῖον δὲ, ὁ ἐπιεικῶς καὶ εὐσχημόνως ὀφείλων, κατὰ τὸ ἀρχιερατικὸν αὐτοῦ ἐπάγγελμα, προσενεχθῆναι ἐν τῷ ἐκδοθέντι ὑπ᾽ αὐτοῦ πρὸς τοὺς ἑαυτοῦ οἰκείους ἐντάλματι, καὶ πᾶν ὅ,τι ἂν ὑπέκκαυμα κατατομῆς καὶ μίσους ἐκ μέσου ἆραι, οὗτος αὐτὸς ὑπὸ σφοδροῦ πάθους ὠθούμενος, ἀνέτῳ τῇ γλώσσῃ, ὡς ἔσχατον τῶν λοιδοριῶν αὐτοῦ ἐπισφράγισμα, καταλέγει ταῦτα.

Πρότασις ΙΒ'.

« Ἡ Γραικικὴ Ἐκκλησία δὲν κυβερνᾶται πλέον ἀπὸ αὐτὴν τὴν θείαν ἐξουσίαν, τὴν διδομένην ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ εἰς τοὺς ποιμένας, ἀλλ᾽ ἀπὸ τὴν πολιτικὴν ἐξουσίαν, ἥτις κατέπιεν ἐκείνην ὁλοκλήρως. Ἐξ ἄλλου μέρους Συνταγματικὴ ἐξουσία προσδιορίζει εἰς Ἐθνικὴν Συνέλευσιν τὰς σχέσεις τῆς Ἐκκλησίας τῆς Ἑλλάδος μὲ τὸν Πατριάρχην Κωνσταντινουπόλεως, καὶ τῆς χορηγεῖ τὸ δικαίωμα νὰ κυβερνᾶται ἀφ᾽ ἑαυτῆς. Ἐὰν δὲ καὶ ἀλλαχοῦ πλῆθος Γραικῶν συστήσωσί ποτε ἐξουσίαν, ἀφεύκτως θέλει μιμηθῶσι τὰ ἀνωτέρω παραδείγματα » κτλ.

Ἀντίθεσις.

Βαβαὶ, ἡλίκον τὸ πρὸς τὴν Ἀνατολικὴν Ἐκκλησίαν, ὅτὲ μὲν καταφανῶς, ὅτὲ δὲ πλαγίως προκύπτον ἐνδόμυχον ἔχθος τῶν ἐκ τῆς Ῥώμης! Καὶ νῦν ἤδη κατὰ τὸν ΙΘ΄ αἰῶνα φέρονται πρὸς ἡμᾶς παρομοίως (ἵνα παραλίπωμεν τὰ ἀρχαιότερα), καθὼς ἐφέροντο καὶ κατὰ τὸν ΙΖ΄ αἰῶνα μεσοῦντα, οἱ ἐν τῷ Γαλατᾷ τῆς Κωνσταντινουπόλεως κατασκηνοῦντες Ἰησουῖται, οἱ τῶν ἄλλων ταγμάτων τῆς Ῥώμης θερμότεροι, οἱ καταβολῇ χρημάτων τῆς ζωῆς ἐξαγαγόντες, ὡς αὐτοῖς ἐχθρὸν, τὸν τῶν Βυζαντίων Ἀρχιθύτην Κύριλλον τὸν Λούκαριν, καὶ Καλβινισμὸν προσάψαντες τῷ ἀοιδίμῳ ἐκ τοῦ φανέντος ψευδεπιγράφου βιβλιαρίου. Οὗτοι δὲ καὶ τὴν Γραικικὴν Ἐκκλησίαν ὅλην ὡς καλβινίσασαν, πρὸς ταῖς ἄλλαις ὕβρεσιν, εἰπεῖν ἐτόλμησαν. Ἀλλὰ καὶ Πατριάρχας μέλλοντας θνήσκειν, Ἑβραίους ἀνεκήρυξαν, ἀσμενιζόμενοι καὶ ὑπὸ Ἑβραίων αὐτοὺς ταφῆναι. Οὕτω καὶ τανῦν παρὰ τοῦ καλοῦ τούτου ἀρχιερέως σκώπτεται πικρῶς καὶ πλαστογραφεῖται ἡ τοῦ Χριστοῦ Ἀνατολικὴ Ἐκκλησία, ὡς μὴ ἐκ τῆς θείας Ἐξουσίας, τῆς διδομένης παρὰ Ἰησοῦ Χριστοῦ τοῖς Ποιμέσι διεξαγομένη, ἀλλ' ἐκ τῆς πολιτικῆς, ἥτις ἀπεῤῥόφησε, λέγει, καὶ καταπέπωκεν αὐτὴν ὅλην. Ὢ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων! Εὐφήμει, ὦ ἄνθρωπε, οὕτως ἀκαιρίμᾳ τῇ γλώσσῃ κακολογῶν τὴν τῇ θείᾳ ἀντιλήψει διαφυλάξασαν ἀπαρασάλευτον, ἄνευ βεβηλώσεως, τὸν ὅρον τῆς Πίστεως, καὶ τὰ τῶν Συνόδων Δόγματα ἀπαρέγκλιτα μέχρι τούτου Ἐκκλησίαν, τὴν ὡς μητέρα σεβαζομένην ὑπὸ πλέον ἢ ἑξήκοντα ἑκατομμυρίων Ὀρθοδόξων Ἀνατολικῶν. Σὺ δὲ ταύτην ἐξυβρίζεις, ὡς δῆθεν καταποθεῖσαν ὑπὸ Κράτους εὐμενοῦς, ὅπερ τὰ τῆς θρησκείας ἡμῶν ἔθιμα πάντα, ἀκίνητα καὶ ἀσάλευτα, τῇ ἄνωθεν συμμαχίᾳ, καὶ ἀνεπηρέαστα, τό γε ἐπ' αὐτῷ, τετήρηκε· καὶ κατ' αὐτὰ προσετάξατο, καὶ πάντοτε διατάττει, ταύτην διεξάγεσθαι, ὡς ἀριδήλως ἐμφαίνουσι τὰ πρὸς τοὺς τέσσαρας Ἀνατολικοὺς εὐσεβεῖς Πατριάρχας, καὶ πρὸς τοὺς Ἀρχιερεῖς τῶν Ἐπαρχιῶν, ἐπὶ τῆς καθιδρύσεως αὐτῶν, ἐκδιδόμενα Βασιλικὰ Διπλώματα (Μπεράτια), ἀποτόμως διακελεύοντα ποιμαίνειν αὐτοὺς, οὕτω ῥητῶς, *άγινὶ Οὐζρέ*, τουτέστι, κατὰ τὰ ἔθιμα τῆς αὐτῶν Πίστεως. Οὕτως ἵλεως ὁ ἐλεήμων Θεὸς καὶ Κύριος ἐπιβλέψαι ηὐδόκησεν ἐπὶ ταύτην τὴν αὐτοῦ ἁγίαν Ἐκκλησίαν· ἥτις, διὰ τῆς ἀδιαλείπτως ἐπισκιαζούσης αὐτὴν θείας δυνάμεως καὶ χάριτος, ἐν ἡμέραις, ἐν αἷς πᾶν καλὸν ἐγκόσμιον ἡμῖν ἀπεῤῥύη, διέσωσε καὶ θρησκείαν καὶ γλῶσσαν καὶ Ἐθνικότητα.

Ἀλλ' εἴπομεν καὶ πρότερον, ὅτι αὐτὴ ἡ Ἐκκλησία, ἣν τοσοῦτον ἀνυποστόλως ὁ Λιβελλογράφος κατονειδίζει, μείζονα προξενῶν αὐτῇ τὸν πρὸς τὴν πρώτην ἀδελφὴν Λατινίδα Ἐκκλησίαν παροξυσμόν, τοῦτο τὸ κατὰ τὸν Λιβελλογράφον παθητικὸν τῆς βασιλείας ὄργανον (1), βλέπει καὶ αὐτὸς οὗτος, ὅτι μέχρι κεραίας ἀπρὶξ ἐχομένη, καὶ διατηροῦσα ἀκριβῶς ὅσα ἀρχαιόθεν παρέλαβεν, ἐκτελεῖ ἱερῶς καὶ κανονικῶς τὰ πάντα κατὰ τὴν θείαν ἐξουσίαν, τὴν δοθεῖσαν παρὰ τῶν Θεοκηρύκων Ἀποστόλων, καὶ μεταβᾶσαν ἀλληλοδιαδόχως ἐπὶ πάντας τοὺς Ἀρχιερεῖς καὶ Ποιμένας, καὶ ὅτι θάλλει ἀκμάζουσα ἐν ὅλαις ταῖς τοῦ κόσμου ἐπηρείαις, οὐδὲν ἔλαττον ἢ πρὸ τοῦ Σχίσματος, καὶ μετὰ τοῦτο, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀκμάσει καὶ θαυμαστωθήσεται. Ἀστεῖος δὲ μάλιστα φαίνεται ὁ κύριος Ἰλλερῶ, καὶ διότι, συνειθισμένος ἵνα βλέπῃ κεφαλὴν τῆς Ἐκκλησίας ὁρατὴν καὶ θνητήν, καταχυριεύουσαν τῶν Κλήρων, καὶ δεσπόζουσαν αὐτογνωμόνως ἐπὶ πάντων, νομίζει λοιπὸν τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν διῃρημένην, καὶ ὀλιγοστεύουσαν, διὰ τὰς κατὰ τόπους αὐτονόμους τῶν Ὀρθοδόξων Ἐκκλησίας· καὶ στέκει χαίνων, καὶ περιμένων τὴν ὅσον οὔπω παντελῆ ἐξόντωσιν αὐτῆς! Οὕτως ἐλησμόνησεν ὁ ἐλέῳ Θεοῦ καὶ τοῦ Πάπα προβεβλημένος οὗτος Ἐπίσκοπος, ὅτι οἱ γνήσιοι Ποιμένες τῆς Ἐκκλησίας καὶ διάδοχοι τῶν Ἀποστόλων εἰς ἓν συναρμολογοῦνται σῶμα, οὗ ἡ Κεφαλὴ ὁ Ἀρχιποίμην Χριστός. Ὑπὸ ταύτῃ τῇ Κεφαλῇ κινού-

---

(1 Ἡ τῶν Βυζαντίων Ποιμένων ἀλλαγὴ οὐ γίνεται κατὰ τὴν κατ' ὄψιν κρίσιν τοῦ Λιβελλογράφου (ὅς τις ἐν ᾧ ἔγραφεν, ἴσως εἶχε κατὰ νοῦν τὰ κατὰ τὸν Φόρμοσον καὶ Στέφανον καὶ Κάδωλον καὶ Βονιφάτιον καὶ Βενέδικτον καὶ τοσούτους ἄλλους Πάπας τῆς Ῥώμης ἀπὸ τοῦ Θ'. μάλιστα αἰῶνος μέχρι καὶ τοῦ ΙΑ'. καὶ ἐφεξῆς πολυθρύλλητα συμβεβηκότα). Ἀλλὰ ταύτης τῆς ἀλλαγῆς τὸ θετικώτερον καὶ προκαταρκτικὸν αἴτιον κυρίως ὑπάρχει ἡ τῆς πνευματικῆς ταύτης Ἀρχῆς πολύμοχθος καὶ πολυμέριμνος καὶ πολυώδυνος διοίκησις, ἡ μὴ ἐπιτρέπουσα αὐτοῖς, ἐκ τῶν ἀδιαλείπτων ὁσῶραι πραγμάτων, μηδεμίαν ἡσυχίαν καὶ ἄνεσιν ἔχειν πρὸς ἀναψυχήν, καὶ μάλιστα διὰ τὰς ἑκασταχόθεν τῆς Ἐπικρατείας ποικιλομόρφους συσσωρευμένας ἱκετηρίας τῶν Γραικῶν, ὑπὲρ ὧν μόνον προστασίας πρὸς τὴν Οθωμανικὴν Βασιλείαν ὑπάρχει ὁ Πατριάρχης, ὡς Κορυφαῖος τοῦ Γένους παρ' αὐτῶν θεωρούμενος καὶ καλούμενος. Τὸ δὲ ἐνδελεχὲς τῶν φροντίδων, καὶ δριμὺ τῶν μόχθων καὶ πόνων, καὶ ἡ τῆς ὑπερβολῆς ἀμετρία, καὶ ἡ ἐκ τούτου τέλος προσόχθησις, καὶ ἔφεσις πρὸς ἀπαλλαγὴν τῆς ἀφορήτου βασάνου, ἐπιφέρει τὴν μετάπτωσιν εἰς διαδοχὴν καὶ τῆς θέσεως καὶ τῶν αὐτῶν ὀδυνῶν. Ὢ πόσοι τῶν Ποιμένων τούτων μὴ ἀντισχόντες τοῖς πολυπόνοις ῥεμβασμοῖς, καὶ νόσῳ χαλεπῇ συσχεθέντες, θῦμα τούτων ἐγένοντο! Περὶ δὲ τῆς ἐκλογῆς τοῦ Πατριάρχου ἔκρινεν ὁ κύριος Ἰλλερῶ ἐκ τῶν οἰκείων. Ἐνόμισαν, ὅτι γίνεται καὶ παρ' ἡμῖν ὁμοία τῶν κοσμικῶν ἐπέμβασις, ὁποία διενεργεῖται καὶ εἰς τὴν ἐκλογὴν τοῦ Προέδρου τῆς Ῥώμης ἐν τοῖς μυχοῖς τοῦ Κονκλάβου (ἐγκλειστηρίου), τοῦ ἐν τῷ φρουρίῳ τοῦ Ἀρχαγγέλου Μιχαήλ, καὶ νῦν τὸ συνηθέστερον ἐν τῷ Παλατίῳ τοῦ Κυρινείου λόφου (Palazzo di Monte Quirinale).

μενοι οἱ Πατριάρχαι τῶν ἀπ' ἀρχῆς Ἀποςολικῶν Ἐκκλησιῶν, μετὰ τῶν ὑπ' αὐτοὺς κανονικῶς τεταγμένων, καὶ τῶν ἄλλων τῶν κατὰ τόπους αὐτονόμων Ἐκκλησιῶν, διοικοῦσι τὸ πλήρωμα τῶν Ὀρθοδόξων· καὶ συνδεδεμένοι τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ὁμονοίας, κατά τε τῆς Πίστεως τὴν ὀρθότητα καὶ τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν Κανόνων τὴν ἀκεραιότητα, συνιστῶσιν ἓν τῷ ὄντι πανάρμόνιον καὶ σύμφωνον σῶμα, καὶ μίαν τὴν ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Καὶ οὔτε ἡ τῶν μελῶν πληθὺς διασπᾷ τὴν συμφυΐαν καὶ ἑνότητα, οὔτε πάλιν ἡ ἑνότης ἀντίκειται πρὸς τὸ πλῆθος. Ἓν σῶμα καὶ ἓν πνεῦμά εἰσιν ἐν Χριστῷ πάντες οἱ κατὰ τόπους Πρόεδροι τῶν Ἐκκλησιῶν. Τὴν δὲ Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν τιμῶσιν ὡς Κέντρον οὐχὶ μονοκρατορίας δεσποτικῆς (ὁποῖον εἶπεν ἐν τοῖς προηγουμένοις τὸ τῆς Ῥώμης ὁ κύριος Ἰλλερῶ), ἀλλ' ὡς Κέντρον ἀδελφικῆς ἑνότητος, συγκρατοῦν καὶ συνέχον οὐχὶ τὴν κατακυρίευσιν, ἀλλὰ τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν περί τε τὴν Δογματικὴν καὶ τὴν Κανονικὴν εὐστάθειαν καὶ συντήρησιν. Πρὸς τοῦτο τὸ ἐν ὀνόματι Χριστοῦ κατεστηριγμένον Κέντρον ἀπευθύνονται πᾶσαι αἱ ἀδελφαὶ Ἐκκλησίαι, καί, χρείας τυχούσης, περὶ τῶν ἀνηκόντων τῇ Πίστει καὶ τῇ Κανονικῇ διακοσμήσει καὶ διατάξει τῆς Καθόλου Ἐκκλησίας συναποφαίνονται· διὸ καὶ πάντες οἱ πανταχοῦ τῆς Οἰκουμένης Ὀρθόδοξοι λαοὶ τὴν Μεγάλην Ἐκκλησίαν, ὡς Μητέρα πνευματικήν, καὶ τροφόν, καὶ ἐν ταῖς μεγίσταις περιστάσεσι μέγιστον εὐεργέτην θεόθεν ἀναδειχθεῖσαν, σέβονται καὶ τιμῶσι, καλῶς εἰδότες, ὅτι ἀδύνατόν ἐστι τὸν ταύτην ἀθετοῦντα μένειν Ὀρθόδοξον ἀληθῶς, καὶ μὴ ἀπεσχισμένον ἀπὸ τοῦ ὅλου τῶν Ὀρθοδόξων πληρώματος. Εἰς τοῦτο τὸ κατὰ τὴν πνευματικὴν ἀξιοπρέπειαν καὶ ἀρχαιότητα πανσέβαστον Κέντρον, καὶ πᾶσαι αἱ Οἰκουμενικαὶ Σύνοδοι τῶν θείων Πατέρων συνήχθησαν, ἐν οἷς ὑπῆρχον καὶ τῆς εὐσεβούσης τότε Ῥώμης οἱ μακάριοι Πρόεδροι, τῆς προσηκούσης τιμῆς ἀπολαύοντες. Ἀφ' οὗ δὲ οὗτοι, φρονήσαντες ὑψηλότερα τοῦ πρέποντος, καὶ τῷ μέλος εἶναι τῆς Ἐκκλησίας ἀπαρεσθέντες, ἐπόθησαν τοῦ ὅλου σώματος ἐπιβῆναι, γέγονε (φεῦ) τῇ Ῥώμῃ τὸ πρὸς ἀθέμιτον μοναρχίαν νόσημα, πτῶμα ἐξαίσιον.

Τέλος πάντων, ὅλον τὸ πλήρωμα τῶν Ἀνατολικῶν Ὀρθοδόξων, καὶ οὓς ἰδίως ὁ λίβελλος ἐξύβρισεν, οἱ Γραικοί, οὔτε ὑπὸ ματαιοφροσύνης καὶ φιλοδοξίας, ὡς ὁ κατήγορος στωμυλεύεται, οὔτε ὑπὸ πεισμονῆς καὶ τῶν παθῶν τῶν Ποιμένων αὐτῶν ὑπερεθιζόμενοι, ἐνίστανται ἐν τοσούτῳ ἐξαισίῳ ἐθνικῆς γνώμης παραστήματι, εἰς τὸ ...ιακρατεῖν ἀκλινῶς πάντα ὅσα ἀπὸ τῶν Ἀποςολικῶν χρόνων ἄνωθεν παρέλαβον ἔθιμα καὶ δόγματα, ἀλλὰ μετ' ἀδιστάκτου βεβαιό-

τητος ἐναβρύνονται, ὅτι ἐπὶ βάσεως Ὀρθοδόξου Πίστεως ἵστανται, μὴ παρασαλεύσαντες μηδὲ διακιβδηλεύσαντες τὴν ἀρχαιότητα τοῦ Ἱεροῦ ἐν τῷ Συμβόλῳ ὅρου, μηδὲ παραλύσαντες τὴν ἀλληλουχίαν τῆς Καθολικῆς Ὀρθοδόξου Πίστεως δι' ἄλλων καινοτομιῶν, ὅθεν, μηδὲ τοῖς παρὰ τῶν Οἰκουμενικῶν Συνόδων ἐκφωνηθεῖσιν ἐπιτιμίοις, ὡς τολμηροὶ καινοτόμοι, καθυποβληθέντες. Ἀλλά, διότι ἐν τοῖς τῆς Πίστεως ὅροις ἐμμένουσι στεῤῥοτάτῳ φρονήματι, καθυβρίζονται παρὰ τοῦ χαρακτῆρα ἐπίσημον Ἐκκλησιαστικὸν φέροντος, ὡς προληπτικοί, καὶ αὐθάδεις, καὶ κωφοί, καὶ ἠπατημένοι σχισματικοί! Ἀλλὰ πρὸς Θεοῦ, τίνες οἱ πρῶτοι διαῤῥήξαντες τὴν ἐπὶ τοσούτους αἰῶνας διατηρηθεῖσαν, καθ' ὅλα τὰ ἄρθρα τῆς ὁμολογίας τῆς Πίστεως, σύμπνοιαν καὶ ἑνότητα τῶν δύω Ἐκκλησιῶν, καὶ τῶν Πατέρων Ἀνατολικῶν τε καὶ Δυτικῶν; Τίνες οἱ εἰσαγαγόντες ἄλλους ἄλλοτε νεωτερισμούς, καὶ τὴν ἐπινοηθεῖσαν ἀνήκουστον τοῦ Συμβόλου προσθήκην, ἣν οὔτε οἱ θεῖοι Πατέρες τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων ἐξέθεντο, οὔτε Χριστὸς ὁ Θεὸς ὑπὲρ ἑαυτοῦ ἐν τῷ Εὐαγγελίῳ παρέδωκε; Πῶς οὐκ εὐλαβήθησαν τὸ παρὰ τῷ κήρυκι τῶν Ἐθνῶν θεσπεσίῳ Παύλῳ βαρύτατον ἐπικρεμασθὲν τοῖς ἀθετηταῖς καὶ παραβάταις ἐπιτίμιον; « Κἂν γάρ, φησιν, ἡμεῖς αὐτοί, ἢ Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα » — ἐννοεῖται τὸ ἑπόμενον.

Τελευταῖον, ὡς ἐν ἐπιθήκης μοίρᾳ, ἐπισφραγίζομεν τὴν ἀπολογίαν ὑποτιθέμενοι τὰ ἑξῆς. Ἄρατε, ὦ ἀγαθοί, ἐκ μέσου τὸν λίθον τοῦτον τοῦ προσκόμματος (δηλονότι τὸν τῆς προσθήκης καὶ τῆς περὶ τὰ θεῖα μυστήρια καινοτομίας), τὸν διὰ τοσούτων ἤδη αἰώνων βλάψαντα, μὴ ὠφελήσαντα, διασχίσαντα, οὐχὶ συνάψαντα τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν. Ἄρατε αὐτόν, κατασβέσαντες καὶ τῆς ἀθεμίτου παντοκρατορίας τὴν ὀφρύν, καὶ δίχως ἀντιλογίας ἄλλης, καὶ πραγμάτων ἀμφιβολίας, καὶ χρονικῶν περιόδων παρατάσεως, δίχως τοξευμάτων καὶ λοιδοριῶν καὶ κακολογιῶν περιττῶν, αἵτινες καὶ τὸ σχίσμα, καὶ τὴν κατατομὴν καὶ διαίρεσιν ἐπὶ τὸ χεῖρον αὐξάνουσιν, ἑνωθησόμεθα, ὡς τὸ πρότερον. Πᾶσα δὲ ἄλλη διαλεκτικὴ συζητήσεων, ὧν Βίβλοι ὅλαι γέμουσιν, ἀνωφελεστάτη. Ἐγκύψατε μετὰ προσοχῆς δεούσης, καὶ νοὸς καθαροῦ, μήτε ὑπὸ γεγηρακυίας προλήψεως, μήτε ὑπὸ ῥιζωθέντος χρονίου κατὰ Γραικῶν πάθους παρενοχλούμενοι τὴν διάνοιαν, ἐγκύψατε εἰς ἔρευναν τοῦ περὶ τὸ Δόγμα φρονήματος, καὶ διεξετάσαντες τὰς πρὸς τὸ ἄμεινον καὶ ὀρθὸν ἐπεξειργασμένας τῶν Θεσπεσίων Πατέρων τυπογραφικὰς ἐκδόσεις, καὶ οὐχὶ τὰς διαστραφείσας καὶ κατανοθευθείσας (ἐν αἷς αἱ τῶν Θεηγόρων Πατέρων Ἀνατολικῶν τε καὶ μάλιστα τῶν Δυ-

τικῶν ῥήσεις κατὰ τὸ δοκοῦν παρεφθάρησαν), καὶ ἀναμφιβόλως, τῆς παρὰ τοῦ Θεοῦ ἐπιπνοίας συναραμένης, εὑρήσετε τὴν ἀλήθειαν τοῦ ἀρχαίου καὶ γνησιωτέρου φρονήματος. Καὶ εὑρόντες σύνετε, καὶ συνέντες κρίνατε.

Ὡς δὲ πέρας τῆς ὑπὲρ τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας ἀπολογίας ἡμῶν ταύτης, ἐπάγομεν καὶ τὴν, ἣν ἡ Ἐκκλησία αὕτη ἀναπέμπει ἐν ταῖς καθ' ἑκάστην τελουμέναις ἱεραῖς Μυσταγωγίαις πρὸς τὸν Παντοδύναμον Θεὸν ἔνθερμον εὐχὴν, ἐπικαλουμένη ἐκτενῶς τὴν ἑνότητα τῆς Πίστεως, τὴν ἕνωσιν πάντων, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος. Εἶεν.

ΑΠΑΝΤΗΣΙΣ

ΤΗΣ

ΟΡΘΟΔΟΞΟΥ ΑΝΑΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ

εἰς τὴν ἀρτίως πεμφθεῖσαν πρὸς τοὺς Ἀνατολικοὺς Ἐγκύκλιον Ἐπιστολὴν τοῦ Μ. Πάπα τῆς Ῥώμης

ΠΙΟΥ ΤΟΥ ΕΝΝΑΤΟΥ (1).

Η ΑΝΑΤΟΛΙΚΗ ΟΡΘΟΔΟΞΟΣ ΕΚΚΛΗΣΙΑ, ΩΣ ΕΚ ΠΡΩΤΗΣ ΣΥΣΤΑΣΕΩΣ ΑΥΤΗΣ, ΟΥΤΩΣ ΑΚΟΛΟΥΘΟΥΣΗΣ ΑΕΙΠΟΤΕ, ΚΑΙ ΕΝ ΑΥΤΩι ΗΔΗ ΤΩι ΑΙΩΝΙ, ΚΑΘΑΠΕΡ ΚΑΤΑΙΓΙΣΙ ΚΑΙ ΚΛΥΔΩΣΙ ΧΕΙΜΑΖΕΤΑΙ ΚΑΙ ΔΙΑΦΟΡΟΙΣ ΠΕΙΡΑΣΜΟΙΣ ΠΟΛΕΜΕΙΤΑΙ ΜΕΝ, ΑΛΛ' ΟΥ ΠΙΠΤΕΙ, ΠΣΟΣΒΑΛΛΕΤΑΙ, ΑΛΛΑ ΣΤΕΡΕΑ ΕΠΙ ΤΗΝ ΑΣΑΛΕΥΤΟΝ ΠΕΤΡΑΝ ΤΗΣ ΠΙΣΤΕΩΣ ΕΣΤΗΚΕΝ, ΩΣ ΥΠΟ ΤΟΥ ΑΟΡΑΤΟΥ ΘΕΟΥ ΟΡΑΤΩΣ ΠΕΡΙΦΡΟΥΡΟΥΜΕΝΗ.

Πρότασις Α'.

Ὁ Μακαριώτατος Πάπας Πῖος ὁ Θ', ἐν τῇ αὐτοῦ Ἐγκυκλίῳ Ἐπιστολῇ, μετὰ τὸ εἰπεῖν ἱκανὰ πρὸς τοὺς μείναντας σταθερῶς ἐν τῇ κοινωνίᾳ καὶ πίστει τῇ πρὸς τὸν θρόνον αὐτοῦ, μεταφέρει (Σελ. Ζ'.) τὸν λόγον πρὸς ἡμᾶς ἐν γένει τοὺς Ἀνατολικοὺς Ὀρθοδόξους, ἐκφραζόμενος μετ' ἀγάπης, εἰρήνης (ὡς λέγει) καὶ φιλοστοργίας πρὸς ἡμᾶς, τοὺς τὸν Χριςὸν μὲν λατρεύοντας, ἀλλοτρίους δὲ τοῦ θρόνου τοῦ Πέτρου, καὶ ὅτι κατὰ τὸ Χριστοῦ παράδειγμα προσπαθεῖ, ἵνα

---

1) Ἐξεδόθη τῷ 1848 ἔτει ἐν Κωνσταντινουπόλει ἐν τῇ Πατριαρχικῇ τοῦ Γένους Τυπογραφίᾳ. (Σημ. Ἐκδ.).

τὰ διασκορπισθέντα πρόβατα ἐπαναγάγῃ εἰς τὴν μάνδραν τῆς τοῦ Κυρίου Ποίμνης· καὶ τέως ἀποτεινόμενος πρὸς τοὺς προέχοντας ταῖς Ἐκκλησιαστικαῖς τιμαῖς (σιωπήσας τὸ Πατριαρχικὸν ὄνομα), ἐπενθυμίζει αὐτοῖς τὴν ἀρχαίαν κατάστασιν τῶν ἡμετέρων Ἐκκλησιῶν, ὅτε αὐταὶ ἦσαν συνδεδεμέναι διὰ τῆς ἑνώσεως ταῖς λοιπαῖς τῆς Οἰκουμένης Ἐκκλησίαις, καὶ λέγει, ἵνα παρατηρήσωσιν οἵαν ὠφέλειαν ἔφερον αὐτοῖς αἱ μετὰ ταῦτα διαφωνίαι, ὧν ἕνεκα οὐ μόνον μετὰ τῶν ἐν Δύσει Ἐκκλησιῶν, ἀλλ᾽ οὐδ᾽ ἐν μέσῳ αὐτῶν (τῶν Ἀνατολικῶν Ποιμένων) διετηρήθη ἡ τῆς διδασκαλίας καὶ τῆς ἱερᾶς ἐπιστασίας ἑνότης.

Ἀντίθεσις.

Ἡ Ἀνατολικὴ Ἐκκλησία μετά τε τῶν Προέδρων αὐτῆς καὶ τοῦ Ὀρθοδόξου πληρώματος εὐχαριστεῖ αὐτῷ ἕνεκα τῆς φροντίδος, δι᾽ ἧς προσπαθεῖ, ὅπως τὰ διασκορπισθέντα τῶν προβάτων ἐπαναγάγῃ εἰς τὴν μάνδραν. Καὶ περὶ μὲν τῶν μυριάδων ἐκείνων πολλῶν, τῶν ἀποσχισθέντων καὶ ἀποσπασθέντων τῆς μετὰ τῆς Ῥώμης κοινωνίας, χρέος ἱερὸν τῇ Ἀρχιερατείᾳ αὐτῆς ἐπίκειται, ὅπως ἐπανακαλέσῃ αὐτοὺς εἰς τὴν Ποίμνην, ἀφ᾽ ἧς ἀπεσκίρτησαν, περὶ δὲ τῶν Ἀνατολικῶν Ὀρθοδόξων περιττὴ ὅλως ἐστὶν ἡ τοιαύτη προσπάθεια· οἶδε γὰρ καλῶς αὐτὸς τόν τε τῆς ὁμοφροσύνης ἀρχαῖον σύνδεσμον τὸν ἐφ᾽ ὅλοις αἰῶσιν ὀκτὼ συνενοῦντα τὰς δύω ἀδελφὰς Ἐκκλησίας ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ὁμολογίᾳ Πίστεως, καὶ τὰ αἴτια τὰ οὐκ ἀνθρώπινα, ἀλλὰ σοβαρά, ὡς περὶ θείου Δόγματος, δι᾽ ἃ ἡ Δυτικὴ Ἐκκλησία ἐμμένουσα τῇ καινοτομίᾳ, τοῦτον τὸν μετὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας συνέχοντα αὐτὴν ἱερὸν σύνδεσμον διέλυσεν· ἡ δ᾽ Ἀνατολικὴ αὕτη, καὶ πρότερον, καὶ μετὰ τὴν μεταβολὴν τῶν πολιτικῶν αὐτῆς πραγμάτων, καὶ ἐπὶ τῆς Ὀθωμανικῆς ἤδη Ἐξουσίας, οὕτω τοῦ προνοητικοῦ Θεοῦ νεύσαντος, οὐδὲν τῆς ἀνέκαθεν μετέβαλε καταστάσεως· τὸ γὰρ ἑαυτῆς ἀρχαῖον ἀμετάβλητον καθ᾽ ὅλα ἀποσώζει σχῆμα, καὶ ὁ Κλῆρος τὰ τοῦ βαθμοῦ ἀκωλύτως ἀποτελεῖ, καὶ ἑκασταχοῦ τὰ θεῖα ἱερουργεῖται Μυστήρια, καὶ διὰ βραχέων, πάντα, ἡ Ἀνατολικὴ αὕτη Ἐκκλησία, ὅσα ἐξ αὐτῶν τῶν Ἀποστόλων καὶ τῶν Θεηγόρων Πατέρων καὶ Διδασκάλων παρέλαβε Δόγματα, ἀπαράτρωτα καὶ ἀμετασάλευτα, μηδὲν ἐν μηδενὶ καινοτομήσασα, διέσωσε, καὶ στερεῶς διασώζει καὶ διασώσει, καὶ διατηρήσει ἄνευ οἱαστινοσοῦν διαφωνίας, καὶ κομμάτων καὶ διαιρέσεως κατά τε τὴν διδασκαλίαν καὶ τὴν τῶν Ποιμένων ἑνότητα, ὡς πικρῶς διαβάλλεται ἄλλως.

Πρότασις Β'.

Ἡ Μακαριότης αὐτοῦ ἐπάγει ἐν τῇ Ἐγκυκλίῳ, ἵνα μνησθῶσιν οἱ Ἀνατολικοὶ τοῦ Συμβόλου τῆς Πίστεως, καὶ τῆς μιᾶς ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἣν ἀρνοῦνται ὡς ὑφισταμένην αὐτὴν ἐν τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας τῆς Ῥώμης.

Ἀντίθεσις.

Οἱ τῆς Ἀνατολικῆς Καθόλου καὶ Ὀρθοδόξου Ἐκκλησίας χριστιανοὶ πιστεύουσι καὶ ἀποδέχονται τὸ εὐσεβὲς σύστημα τὸ περὶ τὰ Δόγματα ὀρθὸν καὶ ὑγιαῖνον. Κύριλλος ὁ Ἱεροσολύμων, Κατηχήσει ΙΗ', ἑρμηνεύων τὰς λέξεις τοῦ ἱεροῦ Συμβόλου φησίν· « Καθολικὴ καλεῖται, διότι κατὰ πᾶσαν τὴν Οἰκουμένην ἐξαπλοῦται, καὶ τούτου ἕνεκα τίθεται τὸ Καθολικὸν, τουτέστι τὸ ἁπανταχοῦ ἄνευ ἐλλείψεως περὶ πάντων τῶν Δογμάτων. » Ἡ ἄνευ οὖν ἐλλείψεως κατὰ πάντα τὰ Δόγματα καὶ παρασαλεύσεως τούτων Ἐκκλησία, ἔστι μία, ὡς ἕν τι ὅλον, μία, διότι εἷς ὁ Θεὸς, ἁγία, διὰ τὴν ἁγίαν αὐτῆς Κεφαλὴν, ἥτις ἐστὶν ὁ Ἀρχιποίμην Χριστός· ὑπὸ δὲ ταύτῃ τῇ Κεφαλῇ κινούμενοι οἱ Πρόεδροι τῆς ἀπ' ἀρχῆς Ἀποστολικῆς Ἐκκλησίας, μετὰ τῶν ὑπ' αὐτοὺς κανονικῶς τεταγμένων, καὶ τῶν ἄλλων κατὰ τόπους αὐτονόμων Ἐκκλησιῶν, διοικοῦσιν ἐν συνδέσμῳ εἰρήνης καὶ ὁμονοίας, κατά τε τὴν τῆς Πίστεως ὀρθότητα, καὶ τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν Κανόνων τὴν ἀκεραιότητα, τὸ τῶν Ὀρθοδόξων Ἀνατολικῶν πλήρωμα, συνιστῶντες ἓν σῶμα παναρμόνιον, καὶ μίαν τὴν ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.

Πρότασις Γ'.

Ἐν τῇ Ἐγκυκλίῳ ἑπομένως, προτείνονται τὰ πρὸς κύρωσιν τῆς τῶν Προέδρων τῆς Ῥώμης ἐξουσίας συνήθη ἐπιχειρήματα· Α', τὸ περὶ τῶν δοθεισῶν κλειδῶν τῷ Ἀποστόλῳ Πέτρῳ: Β', περὶ τοῦ μὴ ἐκλεῖψαι τὴν Πίστιν αὐτοῦ: Γ', τοῦ στηρίξαι τοὺς ἀδελφοὺς αὐτοῦ: Δ', περὶ τοῦ ποιμαίνειν καὶ βόσκειν τὰ πρόβατα.

Ἀντίθεσις.

Τὰ παρὰ τοῦ Κυρίου Ἰησοῦ λεχθέντα τῷ Πέτρῳ, « σὺ εἶ Πέτρος κτλ. » ἐῤῥέθησαν καὶ πρὸς τοὺς λοιποὺς τῶν Ἀποστόλων· « ὅσα ἂν

» δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς. » (Ματθ. Κεφ. ΙΗ'. 18.). Ὡσαύτως καὶ τὸ, « ἐπὶ ταύτῃ τῇ **Πέτρᾳ** οἰκοδο- » μήσω μου τὴν Ἐκκλησίαν, » ἐῤῥέθη καὶ πρὸς πάντας τοὺς Ἀποστόλους καὶ αὐτοὺς τοὺς Προφήτας· « ἐποικοδομηθέντες ἐπὶ τῷ » θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν. » (Ἐφ. Κεφ. Β'. 20.). « Τῆς πόλεως Ἱερουσαλὴμ τῆς καταβαινούσης ἐκ τοῦ Οὐρανοῦ τὸ » τεῖχος, ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώ- » δεκα Ἀποστόλων τοῦ Ἀρνίου. » (Ἀποκ. Κεφ. Ι'. 14.). Συνάγεται δ' ἐκ τῶν ῥηθέντων, ὅτι πρώτη Πέτρα θεμελίου τῶν τε Ἀποστόλων καὶ ὅλης τῆς Ἐκκλησίας ἐστὶ μόνος ὁ Ἰησοῦς Χριστὸς, « ὄντος Ἀ- » κρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ. » (Ἐφ. Κεφ. Β'. 20.). Ἐῤῥέθη μὲν παρὰ τοῦ Κυρίου τῷ Πέτρῳ πρὸς ἀπόκρισιν· « Σὺ εἶ Πέτρος, » καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, » ἀλλὰ διότι ἐπὶ τῆς ἐρωτήσεως προέλαβε τῶν ἄλλων Ἀποστόλων μαθητῶν, ὁμολογήσας « Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.» (Ματθ. Κεφ. ΙΣΤ'. 16.). Τὴν δὲ ἔννοιαν τῶν λόγων αὐτῶν « καὶ » ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, » πρὸς τοῖς ἄλλοις Ἀνατολικοῖς Πατράσι, καὶ ὁ Ἱερὸς Αὐγουστῖνος (Πράξ. 124. εἰς τὸν Ἰωάννην) διασαφεῖ οὕτω· « Σὺ εἶ Πέτρος, λέγει ὁ Χριστὸς, » καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ, ἣν σὺ ὡμολόγησας, καὶ ἐπὶ ταύτῃ τῇ » Πέτρᾳ, ἣν ἐγνώρισας εἰπών· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ » τοῦ ζῶντος, οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· ἐπ' ἐμὲ μὲν δύνασαι » σὺ οἰκοδομῆσαι, οὐκ ἐμὲ δὲ ἐπὶ Σὲ, τουτέστι τὸ σῶμά μου, τὴν » Ἐκκλησίαν μου· οἱ δὲ ἄνθρωποι, οἱ βουλόμενοι ἐπ' ἀνθρώποις θε- » μελιωθῆναι, ἔλεγον· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ » δὲ Κηφᾶ (Πέτρου). » (Πρὸς Κορινθ. Α'. Κεφ. Α'. 12.). Ἐκ τῆς γνώμης δὲ ταύτης τοῦ θείου Δυτικοῦ Πατρὸς, βλέπομεν πρῶτον, ὅτι ἡ Πέτρα, ἐφ' ἧ ᾠκοδομήθη ἡ Ἐκκλησία, οὐκ ἔστιν ὁ Ἀπόστολος Πέτρος, ἀλλ' ἡ τούτου ὁμολογία τῆς Πίστεως, αὐτὸς ὁ Ἰησοῦς Χριστός· « Ἡ δὲ Πέτρα ἦν ὁ Χριστός. » (Α'. πρὸς Κορινθ. Κεφ. Ι' 4.). Δεύτερον, οἱ λέγοντες, ἐγὼ μέν εἰμι Κηφᾶ (Πέτρου), καὶ αὐτὸν ἐξαιρέτως πρεσβεύω καὶ πιστεύω κεφαλὴν πάντων τῶν ἱερῶν Διδασκάλων καὶ αὐτῆς τῆς Ἐκκλησίας, κατὰ τὸν θεσπέσιον Παῦλον, καὶ τὸν ἱερὸν Αὐγουστῖνον, οἱ τοιοῦτοι μερίζουσι τὸν Χριστὸν, καὶ οἰκοδομοῦσι τοὺς ἀνθρώπους ἐπὶ θεμελίῳ ἀνθρώπων.

Περὶ τοῦ Πέτρου, περὶ οὗ ἐδεήθη ὁ Χριστὸς, ἵνα μὴ ἡ Πίστις αὐτοῦ ἐκλείψῃ, « ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ Πίστις » σου, καὶ σύ ποτε ἐπιςρέψας, ςήριξον τοὺς ἀδελφούς σου.» (Λουκ. Κεφ. Β'. 32.)· περὶ τῆς δεήσεως ταύτης τοῦ Κυρίου πρόκεινται τρανὰ διασαφήσεις τῶν Πατέρων τῆς Ἐκκλησίας, οἷον Βασιλείου,

Χρυσοστόμου, Αὐγουστίνου, Ἀμβροσίου, Ἐπιφανείου, Μακαρίου τοῦ Αἰγυπτίου, Τίτου τοῦ Βόστρων, Θεοφυλάκτου, καὶ Κυρίλλου τοῦ Ἀλεξανδρείας. Ὁ Ἰησοῦς Χριστὸς ἐδεήθη κοινῶς ὑπὲρ τῶν Ἀποστόλων καὶ ὑπὲρ τῶν διὰ τοῦ λόγου αὐτῶν πιστευόντων, ἐν ἐκείνῃ τῇ θαυμασίᾳ προσευχῇ καὶ δεήσει πρὸς τὸν οὐράνιον αὐτοῦ Πατέρα, τῇ ἐν τῷ ΙΖ΄ Κεφαλαίῳ τοῦ Ἰωάννου· ἐδεήθη δὲ ἰδίως περὶ τοῦ Πέτρου, διότι προεῖδε τὴν διὰ τῆς ἀρνήσεως χαλεπὴν πτῶσιν τούτου, τοῦ μεγαλοφρόνως εἰπόντος, « εἰ καὶ πάντες σκανδαλισθήσονται, » ἀλλ᾽ ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι »· διὸ καὶ τῇ ἑαυτοῦ δυνάμει θαῤῥήσας, καὶ ὑποσχεθεὶς ὃ οὐκ ἔμελλε πληρῶσαι, παρεδόθη τῇ δειλίᾳ καὶ πέπτωκεν εἰς ἄρνησιν· ὁ γὰρ Χριστὸς οὐκ ἐδεήθη, ἵνα μὴ σαλευθῇ ἡ τοῦ Πέτρου Πίστις, ἡ κατὰ συγχώρησιν θείαν, διὰ τὴν ἀλαζονείαν τῶν λόγων αὐτοῦ, σαλευθεῖσα, ἀλλ᾽ ἵνα μὴ ἐκλείπῃ, καὶ ἀπελπισθεὶς διὰ τὴν ἄρνησιν ἀπωλεσθῇ· διὰ δὲ μετανοίας καὶ δακρύων, ἐξαλείψας τὴν ἁμαρτίαν, καὶ ἐπιστρέψας εἰς τὴν προτέραν πίστιν, γένηται τύπος σωτηριώδους στηριγμοῦ πρὸς τοὺς σαλευομένους ἄλλους ἀδελφοὺς περὶ τὴν Πίστιν.

Μετὰ δὲ ταῦτα, τὰ παρὰ τῶν Πατέρων ῥηθέντα, τὰ καὶ δεικνύοντα σαφῶς, ὅτι οὐ διὰ μοναρχίαν ἐῤῥέθησαν παρὰ τοῦ Κυρίου τῷ Πέτρῳ τὰ ἀνωτέρω μνησθέντα, ἀλλὰ διὰ τὸ μὴ ἀπογνῶναι αὐτὸν περὶ τοῦ μεγέθους τοῦ οὗ πεποίηκεν ἁμαρτήματος, ἐν τῇ Ἐγκυκλίῳ Ἐπιστολῇ, πρὸς ὑπόστασιν τῆς ἧς ἀντιποιοῦνται οἱ τῆς Ῥώμης Ἐπίσκοποι ἐξουσίας, ἐπάγονται αὖθις τὰ συνήθεα συνήθη ἐφεξῆς ἐπιχειρήματα, ἅτινα ἡ Ἀνατολικὴ Ἐκκλησία πρὸ τοσούτων αἰώνων Γραφικαῖς ῥήσεσιν ἀνεσκεύασεν.

Πρότασις Δ΄.

« Ὁ Ἰησοῦς Χριστὸς παρέδωκε τελευταῖον εἰς τὸν Πέτρον νὰ βόσκῃ τὰ ἀρνία καὶ πρόβατά του, καὶ ἑπομένως ὅλην τὴν Ἐκκλησίαν, συνισταμένην εἰς τὰ ἀληθῆ ἀρνία καὶ πρόβατα τοῦ Χριστοῦ, καὶ ταῦτα μὲν ἀνήκουν πρὸς τοὺς ἄκρους Ἀρχιερεῖς τῆς Ῥώμης. κτλ. »

Ἀντίθεσις.

Πρὸς δὲ λύσιν καὶ ἐπὶ τοῦ παρόντος ταύτης τῆς προτάσεως λέγομεν. Οἱ διὰ τῆς τριττῆς ἐρωτήσεως λόγοι τοῦ Κυρίου πρὸς τὸν Πέτρον, εἰσὶ μᾶλλον ἐντολὴ ἢ ἕτερόν τι, οὐχὶ ἐξουσία, ἀλλὰ χρέος· καὶ τοιοῦτον ἱερὸν χρέος, τὸ ἀποτόμως ἐντελλόμενον πρὸς πάντας τοὺς λειτουργοὺς τοῦ Κυρίου, « Ποιμάνατε τὸ ἐν ὑμῖν Ποίμνιον

» τοῦ Θεοῦ.» (Πέτρ. Α΄. Κεφ. Ε΄. 2.)· ἀλλ' οἱ λέγοντες ἔχειν τὴν πρὸς τὸν Πέτρον ἐντολὴν ταύτην λαμπρόν τι, ἰδέτωσαν τοὺς θείους Πατέρας, Αὐγουστῖνον, Ἀμβρόσιον, Χρυσόστομον, Ἐπιφάνειον, καὶ Κύριλλον Ἀλεξανδρείας, πῶς ταύτην ἐννοοῦντες ἀναπτύσσουσι· καὶ διὰ βραχέων, ἰδοὺ οἱ τοῦ ὑστάτου Πατρὸς λόγοι· « Τῷ τριττῷ » τῆς τοῦ Πέτρου ὁμολογίας (ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε), » ἐξηλείφθη τὸ τῆς τριττῆς ἀρνήσεως ἁμάρτημα, καὶ ἀνεκαινίσθη » τὸ τῆς ἀποστολῆς ἀξίωμα ἐν τῷ Πέτρῳ, ἵνα μὴ διὰ τὴν ἄρνη- » σιν, εἰς ἣν δι' ἀνθρωπίνην ἀσθένειαν πέπτωκεν, ἐξασθενήσασα » νομισθῇ». Τοιαύτῃ γοῦν παρατηρήσει ἀναγνωστέον τὰ τοῦ Εὐαγγελίου ἱερὰ λόγια, κατὰ τὸν νοῦν τῶν ἀρχαίων Πνευματοφόρων Διδασκάλων τῆς Ἐκκλησίας· λέγει ὁ Ἰησοῦς τῷ Σίμωνι Πέτρῳ· « Σί- » μων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; » τουτέστι, Σὺ ὁ ἐπαινεθείς ποτε καὶ εἰπὼν, « εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν Σοὶ, » ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι (Ματθ. Κεφ. ΚΣΤ΄, 33.), εἰπὲ, ἀγαπᾷς με πλεῖον τῶν λοιπῶν Ἀποστόλων; τῇ δὲ λυπηρᾷ δοκιμῇ ὁ μαθὼν καὶ σωφρονισθεὶς Πέτρος, οὐδὲ τολμᾷ εἰπεῖν τῷ Ἰησοῦ, ὡς ἀγαπῶν πλεῖον τῶν ἄλλων, ἀλλ' ἀπεκρίθη· « Ναὶ, Κύ- » ριε, Σὺ οἶδας ὅτι φιλῶ σε »· ἀποδεχθεὶς δ' ὁ Κύριος τὴν ταπεινὴν αὐτοῦ ταύτην ἀπόκρισιν, ἐρωτᾷ αὐτὸν ἐκ δευτέρου, οὐχὶ περὶ τῆς ἧς ἐκαυχήθη ποτὲ πλείονος ὑπὲρ πάντας τοὺς λοιποὺς ἀγάπης αὐτοῦ, ἀλλὰ περὶ ἁπλῆς ἀγάπης· « Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; » διὸ καὶ ἐν ταπεινότητι δευτεροῦται ἡ αὐτὴ ἀπόκρισις· ἀλλ' ὅταν ὁ Πέτρος ἠρωτήθη καὶ Τρίτον, τότε δὴ ἀναμνησθεὶς τὸ Τρίτον τῆς αὐτοῦ ἀρνήσεως, κατεθλίβη τὴν καρδίαν καιρίως, « ἐλυπήθη ὁ Πέ- » τρος, ὅτι εἶπεν αὐτῷ τὸ Τρίτον, φιλεῖς με. » Ἕπεται ἄρα ἐκ τῶν ῥηθέντων, ὅτι οὐδέν τι λαμπρὸν ἐμφαίνεται τῷ Πέτρῳ, ἀλλὰ διὰ τὴν ἄρνησιν, μᾶλλον ἀμαύρωσις· πρὸς δὲ τῷ αὐτελέγκτῳ τούτῳ, καὶ τὸ Τριττὸν τῶν λόγων τοῦ Κυρίου πρὸς τὸν Πέτρον, περὶ τοῦ ποιμαίνειν καὶ βόσκειν, οὐδ' ὅλως σημαίνει οὔτε ὅλην τὴν Ἐκκλησίαν, οὔτε ἄλλο ἀνήκουστον, ὃ ὑπολαμβάνουσιν ἀντιποιούμενοι οἱ τῆς Ῥώμης καὶ παραφθέγγοντες, κατὰ τὸ δοκοῦν. Πρὸς δὲ πλείονα βεβαίωσιν τῆς ἀληθείας, παράγομεν τὴν τῶν Δυτικῶν ἁγίων Πατέρων μαρτυρίαν, καὶ πρῶτον τὴν τοῦ ἱεροῦ Ἀμβροσίου· « Ὁ Ἀπό- » στολος Πέτρος, φησὶ, μετὰ τὴν ἔκπτωσιν αὐτοῦ ἐν τῷ πάθει » τοῦ Κυρίου δι' ἀνθρωπίνην ἀσθένειαν, τρὶς ἐρωτᾶται, διότι τρὶς » ἠρνήσατο· τὸ γὰρ πρῶτον φιλεῖς με, τὴν πρὸ τοῦ Σταυροῦ ἀγά- » πην αὐτοῦ δηλοῖ· τὸ δὲ δεύτερον, τὴν πρὸς τὴν Ποίμνην ἀγά- » πην· τὸ δὲ τρίτον, τὴν συγχώρησιν τοῦ αὐτοῦ ἁμαρτήματος. » (Βιβλ. Β΄. περὶ Μυστηρ. Κεφ. Ζ΄.)· δεύτερον, καὶ τὴν τοῦ ἱεροῦ Αὐ-

γουστίνου ταύτην· « Τρὶς ἠρνήσατο ὁ φόβος, τρὶς ὡμολόγησεν ἡ » ἀγάπη· εἰ δὲ καὶ ζητεῖς, τί ἄρα δηλοῖ ἡ τοῦ Κυρίου ἐντολή, » ποίμαινε τὰ πρόβατά μου; μάθε, τὸ ποιμαίνειν ἐστὶ τὸ διδάσκειν καὶ τὸ τρέφειν πνευματικαῖς ταῖς τροφαῖς. » (Πράξ. Ε'. εἰς τὴν Ἐπιστολ. Ἰωάννου). Ταῦτα Πατέρες ἅγιοι μαρτυροῦσι, καὶ φρόνημά ἐστι τῆς Καθολικῆς Ἐκκλησίας ἀνέκαθεν στερεὸν καὶ πάσης βεβιασμένης τροπολογίας ἄλλης τῆς κατὰ σκοπὸν, ὑπέρτερον.

Ἐν τῇ Ἐπιστολῇ ἐπάγονται (σελ. 9.) τὰ παρὰ τοῦ θείου Εἰρηναίου κατὰ Αἱρέσεων (Βιβλ. Γ'. Κεφ. Δ'.) ἀναφερόμενα, ἀλλὰ κατὰ τὸ δοκοῦν παρηλλαγμένα οὕτως.

Πρότασις Ε'.

Ὁ Εἰρηναῖος θέλων νὰ ἀναφέρῃ κατὰ τῶν Αἱρετικῶν τοῦ αἰῶνός του τὴν τῶν Ἀποστόλων διδασκαλίαν, νομίζει μάταιον νὰ ἀριθμήσῃ τὴν διαδοχὴν πασῶν τῶν Ἐκκλησιῶν, αἵτινες ἔλαβον τὴν ἀρχήν των παρὰ τῶν Ἀποστόλων, βεβαιόνων, ὅτι τοῦ ἀρκεῖ ν' ἀναφέρῃ κατ' ἐκείνων τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διδασκαλίαν· ὅθεν λέγει· « δεῖ συνέρχεσθαι πᾶσαν τὴν Ἐκκλησίαν, δηλονότι τοὺς πανταχόθεν πιστοὺς, ἕνεκα τοῦ Πρωτείου, ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ, ἐν ᾗ πάντα ὑπὸ τῶν πανταχόθεν πιστῶν διετηρήθη ἡ παρὰ τῶν Ἀποστόλων δοθεῖσα παράδοσις. »

Ἀντίθεσις.

Τὰ τοῦ Εἰρηναίου κατὰ τῶν αἱρετικῶν Γνωστικῶν οὕτως ἀπαραποιήτως ἔχουσιν· « Ἐπειδὴ πασῶν ἐπαριθμῆσαι τὴν διαδοχὴν » τῶν Ἐκκλησιῶν λίαν μακρόν ἐστι (οὐχὶ δὲ μάταιον), τῆς μεγίστης καὶ ἀρχικωτάτης καὶ πάσης γνωστῆς, παρὰ τῶν ἐνδοξοτάτων δύω Ἀποστόλων Πέτρου καὶ Παύλου (καὶ οὐ μόνον Πέτρου) ἐν Ῥώμῃ οἰκοδομηθείσης Ἐκκλησίας, ἣν ἔχει παρὰ τῶν » Ἀποστόλων παράδοσιν, καὶ ἀγγελθεῖσαν τοῖς ἀνθρώποις Πίστιν, » μέχρις ἡμῶν ἐλθοῦσαν ἀνακρίνοντες, ἀναστομίζομεν τοὺς παρὰ » τὸ προσῆκον συλλέγοντας· ταύτῃ γὰρ τῇ Ἐκκλησίᾳ διὰ τὴν κραταιοτάτην ἀρχὴν χρὴ πᾶσαν συμφωνεῖν Ἐκκλησίαν, ἤτοι τοὺς » ἁπανταχοῦ πιστοὺς, ἐν ᾗ πάντοτε διετηρήθη ἡ τῶν Ἀποστόλων » παράδοσις. »

Πόσον ἀθλίως διέστραπται τὸ τοῦ Πατρὸς κείμενον ἐξαλλοιωθέν! ἀντὶ τοῦ, χρὴ πᾶσαν συμφωνεῖν Ἐκκλησίαν, ἀσυντάκτως οἱ φθορεῖς παρήμειψαν εἰς τὸ, δεῖ συνέρχεσθαι τοὺς πιστοὺς εἰς ταύ-

την ἕνεκα τοῦ Πρωτείου Ἐκκλησίαν (τῆς Ῥώμης), ὃ Πρωτεῖον οὐδαμῶς ὅλως ἐγίνωσκεν, ὡς μὴ ἐπινοηθέντος οὐδὲ ὑπάρχοντος τότε, ὁ μακάριος Εἰρηναῖος, ὅςτις διαλεγόμενος περὶ τῶν Γνωστικῶν ἀπετείνετο εἰς τὰς Δυτικὰς Ἐκκλησίας, τὰς τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης ὑποκειμένας. Ἐνιστάμενος δὲ κατὰ τῶν ῥηθέντων Αἱρετικῶν, ἐκ τῆς παλαιᾶς παραδόσεως, τουτέστι τῆς παρὰ τῶν Ἀποστόλων ἐν πάσαις ταῖς Ἐκκλησίαις, ἅς τινας ὡς πολλὰς παραλιπὼν, προὐβάλετο μόνην τὴν ἐν Ῥώμῃ, ὡς ὑπὸ τὴν Ἐπαρχίαν αὐτῆς ὢν καὶ ἐπισκοπεύων, μηδὲ οὔσης τότε ἄλλης Βασιλευούσης. Ἡ τῆς πρεσβυτέρας Ῥώμης Ἐκκλησία εἶχε τὰ Πρεσβεῖα ἐπὶ τὰς κατὰ τὴν Δύσιν ὑποταγεῖς πρὸς αὐτὴν Ἐκκλησίας, διὸ καὶ ὁ Εἰρηναῖος αὐτὴν καὶ προέτεινεν. Ἐπὶ δὲ τούτοις, ὁ Πατὴρ αὐτὸς ἐν τῷ αὐτῷ κατὰ τῶν Γνωστικῶν κεφαλαίῳ, οὐ μόνον τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, ἀλλά γε καὶ τὴν ἐν Ἐφέσῳ καὶ τὴν ἐν Σμύρνῃ ἀναφέρει· καὶ εἰ ἐγίνωσκε μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης, ἀνέφερεν ἂν αὐτὴν τὴν Ἐκκλησίαν μόνην κατὰ τῶν Γνωστικῶν, ἄνευ τοῦ μνησθῆναι καὶ ἄλλων Ἐκκλησιῶν, ἃς καὶ ἐγνώριζεν ἴσας τε καὶ ἰσοδυνάμους τῇ τῆς Ῥώμης, καὶ οὐδὲ μετὰ τῶν περὶ αὐτὸν Ἐπισκόπων παρῄνει τὸν Πάπαν Βίκτορα ἐπιτιμῶν, ἵνα μὴ ἀφορίζῃ, ὡς ἁμαρτάνων, ἐπὶ τῇ διαφορᾷ τῆς τοῦ Πάσχα ἡμέρας, τοὺς ἐν Ἀσίᾳ, καὶ σχίζῃ οὕτως εὐκόλως τὴν τῶν Ἐκκλησιῶν ἑνότητα.

Κατὰ τὴν ἐποχὴν ἐκείνην, καθ' ἣν συνηνωμέναι ἦσαν, διά τε τῆς ἀκεραιότητος τῶν θείων Δογμάτων καὶ τοῦ συνδέσμου τῆς ἐν Χριστῷ ἀγάπης καὶ ἑνώσεως, ἥ τε Ἀνατολικὴ καὶ ἡ Δυτικὴ Ἐκκλησία, πολλάκις οἱ Ἱεράρχαι τῆς Ἀνατολικῆς ἐπὶ περιστάσεως καταδρομῆς κατ' αὐτῶν ἀδίκου ἐπεκαλέσαντο τὴν προστασίαν τῶν εὐσεβούντων Προέδρων τῆς Ῥώμης, ὡς πρεσβυτέρων κατὰ τὴν τιμὴν τῆς στάσεως καὶ Προεδρείας· μετὰ δὲ τὴν διαίρεσιν τῶν δύω Ἐκκλησιῶν, φρονήσαντες οἱ τῆς Ῥώμης Πρόεδροι ὑψηλότερα τοῦ πρέποντος, καὶ ἀφέντες τὸ τῆς στάσεως, ἐνηγκαλίσθησαν Πρωτεῖον ὑπερόχου κυριότητος ἐπὶ πᾶσαν τὴν Ἐκκλησίαν· διὰ δὲ τοῦτο, τὸ τῆς ἐκζητήσεως βοηθείας, ὡς μέγα τι καὶ σοβαρὸν δεῖγμα περὶ τοῦ Πρωτείου τῶν τῆς Ῥώμης Ἀρχιερέων, προβάλλεται πρὸς παράδειγμα ἐν τῇ Ἐπιστολῇ (σελ. 9.), μετὰ τὸ τοῦ Εἰρηναίου, καὶ πρῶτον τὸ περὶ τοῦ Μεγάλου Ἀθανασίου οὕτως·

Πρότασις ΣΤ'.

« Ὁ τῆς Ἀλεξανδρείας Ἱεράρχης Ἀθανάσιος, ἀδίκως καταδικασθεὶς καὶ διωχθεὶς τοῦ Θρόνου του, ἀφίχθη εἰς Ῥώμην· ὁ δὲ τῆς

γουστίνου ταύτην· « Τρὶς ἠρνήσατο ὁ φόβος, τρὶς ὡμολόγησεν ἡ » ἀγάπη· εἰ δὲ καὶ ζητεῖς, τί ἄρα δηλοῖ ἡ τοῦ Κυρίου ἐντολή, » ποίμαινε τὰ πρόβατά μου; μάθε, τὸ ποιμαίνειν ἐστὶ τὸ διδά- » σκειν καὶ τὸ τρέφειν πνευματικαῖς ταῖς τροφαῖς. » (Πράξ. Ε΄. εἰς τὴν Ἐπιστολ. Ἰωάννου). Ταῦτα Πατέρες ἅγιοι μαρτυροῦσι, καὶ φρόνημά ἐστι τῆς Καθολικῆς Ἐκκλησίας ἀνέκαθεν στερεὸν καὶ πάσης βεβιασμένης τροπολογίας ἄλλης τῆς κατὰ σκοπὸν, ὑπέρτερον.

Ἐν τῇ Ἐπιστολῇ ἐπάγονται (σελ. 9.) τὰ παρὰ τοῦ θείου Εἰρηναίου κατὰ Αἱρέσεων (Βιβλ. Γ΄. Κεφ. Δ΄.) ἀναφερόμενα, ἀλλὰ κατὰ τὸ δοκοῦν παρηλλαγμένα οὕτως.

Πρότασις Ε΄.

Ὁ Εἰρηναῖος θέλων νὰ ἀναφέρῃ κατὰ τῶν Αἱρετικῶν τοῦ αἰῶνός του τὴν τῶν Ἀποστόλων διδασκαλίαν, νομίζει μάταιον νὰ ἀριθμήσῃ τὴν διαδοχὴν πασῶν τῶν Ἐκκλησιῶν, αἵτινες ἔλαβον τὴν ἀρχήν των παρὰ τῶν Ἀποστόλων, βεβαιόνων, ὅτι τοῦ ἀρκεῖ ν' ἀναφέρῃ κατ' ἐκείνων τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διδασκαλίαν· ὅθεν λέγει· « δεῖ συνέρχεσθαι πᾶσαν τὴν Ἐκκλησίαν, δηλονότι τοὺς πανταχόθεν πιστούς, ἕνεκα τοῦ Πρωτείου, ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ, ἐν ᾗ πάντα ὑπὸ τῶν πανταχόθεν πιστῶν διετηρήθη ἡ παρὰ τῶν Ἀποστόλων δοθεῖσα παράδοσις. »

Ἀντίθεσις.

Τὰ τοῦ Εἰρηναίου κατὰ τῶν αἱρετικῶν Γνωστικῶν οὕτως ἀπαραποιήτως ἔχουσιν· « Ἐπειδὴ πασῶν ἐπαριθμῆσαι τὴν διαδοχὴν » τῶν Ἐκκλησιῶν λίαν μακρόν ἐστι (οὐχὶ δὲ μάταιον), τῆς μεγί- » στης καὶ ἀρχικωτάτης καὶ πάσης γνωστῆς, παρὰ τῶν ἐνδοξο- » τάτων δύω Ἀποστόλων Πέτρου καὶ Παύλου (καὶ οὐ μόνον Πέ- » τρου) ἐν Ῥώμῃ οἰκοδομηθείσης Ἐκκλησίας, ἣν ἔχει παρὰ τῶν » Ἀποστόλων παράδοσιν, καὶ ἀγγελθεῖσαν τοῖς ἀνθρώποις Πίστιν, » μέχρις ἡμῶν ἐλθοῦσαν ἀνακρίνοντες, ἀνεστομίζομεν τοὺς παρὰ » τὸ προσῆκον συλλέγοντας· ταύτῃ γὰρ τῇ Ἐκκλησίᾳ διὰ τὴν κρα- » ταιοτάτην ἀρχὴν χρὴ πᾶσαν συμφωνεῖν Ἐκκλησίαν, ἤτοι τοὺς » ἁπανταχοῦ πιστούς, ἐν ᾗ πάντοτε διετηρήθη ἡ τῶν Ἀποστόλων » παράδοσις. »

Πόσον ἀθλίως διέστραπται τὸ τοῦ Πατρὸς κείμενον ἐξαλλοιωθέν! ἀντὶ τοῦ, χρὴ πᾶσαν συμφωνεῖν Ἐκκλησίαν, ἀσυντάκτως οἱ φθορεῖς παρήμειψαν εἰς τὸ, δεῖ συνέρχεσθαι τοὺς πιστοὺς εἰς ταύ-

Πρότασις Ζ΄.

« Ἰωάννης ὁ Χρυσόστομος τῆς Κωνσταντινουπόλεως Ἀρχιερεὺς, καταδικασθεὶς ἐν τῇ ἐν Καρχηδόνι (γράφε Χαλκηδόνι) Συνόδῳ ὑβριστικῶς πως, κατέφυγε δι᾽ ἐπιστολῶν καὶ Πρέσβεων εἰς τοῦτον τὸν Ἀποστολικὸν θρόνον, καὶ ἀνεδείχθη ἀθῶος παρὰ Ἰννοκεντίου Α΄ τοῦ προκατόχου μας. »

Ἀντίθεσις.

Ὁ θεῖος Ἰωάννης ἐκπεσὼν τοῦ Θρόνου ὑπὸ τῆς κατὰ τὴν Δρῦν, ἐγγὺς κειμένην τῆς Χαλκηδόνος, συστάσης κατὰ τοῦ Θεσπεσίου ἀνδρὸς παρανόμου Συνόδου, οὐ μόνον πρὸς τὸν Ἰννοκέντιον (μηδαμῶς δὲ καὶ Πρέσβεις ἔπεμψεν) ἔγραψεν, ἀλλὰ καὶ πρὸς πολλοὺς ἄλλους περὶ τῆς κατ᾽ αὐτοῦ ὑπὸ πάθους ἀδίκου καταδρομῆς, οἷον πρὸς τὸν Ἀντιοχείας Φλαυϊανὸν, πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην, πρὸς Εὐλόγιον κατ᾽ Ἀσίαν Ἐπίσκοπον, πρὸς τὸν κατὰ Παλαιστίνην Σκυθουπόλεως Ἐπίσκοπον Θεοδόσιον, πρὸς τοὺς κατὰ Μακεδονίαν Ἐπισκόπους, καὶ πρὸς τὸν κατ᾽ Ἀφρικὴν Καθαργένης Αὐρήλιον (Σωζόμ. Βιβλ. Η΄. Κεφ. 24. Ἐπιστ. Χρυσ. 37. 91. 95.)· ὁ δ᾽ Ἰννοκέντιος, κατὰ ζήτησιν Χρυσοστόμου, τοῦ Οἰκουμενικὴν Σύνοδον ἐπὶ ἐρεύνῃ καὶ κρίσει τῶν κατ᾽ αὐτοῦ συκοφαντιῶν ἐπικαλουμένου, καίτοι πολλὰ ἀγωνισθεὶς, καὶ βοηθὸν ἔχων τὸν τῆς Δύσεως Αὐτοκράτορα Ὀνώριον, ὑπὲρ ἀθροίσεως Οἰκουμενικῆς Συνόδου, οὐδὲν ἠδυνήθη πρᾶξαι· τοὺς δὲ παρὰ τοῦ Πάπα ἀποσταλέντας ἐπ᾽ αὐτῷ τούτῳ εἰς Βυζάντιον πρεσβευσομένους, οἱ παρὰ τῷ Ἀρκαδίῳ καὶ τῇ Εὐδοξίᾳ διαβολὰς κατεσκεύασαν, καὶ τούτους μὲν τοὺς παρὰ τοῦ Πάπα, ὡς ὑπερόριον ἀρχὴν ἐνοχλῆσαι σταλέντας, οὐκ ἐντίμως ἀπέπεμψαν, τὸν δὲ θεῖον Ἰωάννην, ψήφῳ Βασιλέως, πορρωτέρω μετοικισθῆναι εἰς Πιτυοῦντα κατώρθωσαν (Ἐπιστ. Ἰωάνν. Β΄. πρὸς Ἰννοκ. Σωζ. Βιβλ. Η΄. Κεφ. ἐσχάτῳ). Ἐκ δὲ ταύτης τῆς ἐναλήθου, ὡς λόγῳ θεμελιουμένης καὶ μαρτυρίαις κρηπιζομένης ἐκθέσεως, καὶ οὐ τῶν ὧν ἀνθυποφέρουσιν οἱ τῆς Ῥώμης πλασμάτων καὶ παριστοριῶν, δείκνυται, ὅτι ὁ μὲν θεῖος Πατὴρ ἔγραψεν οὐ μόνον τῷ Ῥώμης περὶ τῶν συμβάντων αὐτῷ, ἀλλὰ καὶ πρὸς ἄλλους, τὸ δὲ ἄκρον τῆς ἧς ἐζήτουν ἀμφότεροι ὅ τε Ἰωάννης καὶ ὁ Ἰννοκέντιος Οἰκουμενικῆς Συνόδου ἀξίωμα, ἀριδήλως ἐμφαίνεται.

Ὡς δ᾽ ἐν ἐπιθήκης μοίρᾳ, πρὸς πειθὼ τῆς διὰ τοῦ πολυθρυλλήτου Πρωτείου παντοκρατορίας τῶν Προέδρων τῆς Ῥώμης, ἐν τῇ Ἐγκυ-

κλίῳ Ἐπιστολῇ ταύτῃ, τῇ ἐν μέσῳ τοῦ τηλικούτου πανδήμου συσσεισμοῦ καὶ ἀπονοίας τῶν Ἐθνῶν ἀδοκήτως ἀναφανείσῃ, ὑποτίθενται καὶ τὰ ἑξῆς·

Πρότασις Η΄.

« Ἕτερον τεκμήριον τοῦ σεβασμοῦ τῶν ὑμετέρων Προγόνων πρὸς τὸ τῶν Ῥωμαίων Ἀρχιερέων Πρωτεῖον ὑπάρχει ἐν τῇ ἐν Καρχηδόνι (γράφε Χαλκηδόνι) Συνόδῳ· κατὰ τὸ ἔτος 451, οἱ συναχθέντες ἐκεῖ Ἐπίσκοποι τὸν ἀριθμὸν ἑξακόσιοι, οἵτινες, ὀλίγων ἐξαιρουμένων, ἦσαν ἐκ τῶν Ἀνατολῶν, μετὰ τὴν ἀνάγνωσιν τῶν Ἐπιςολῶν (γράφε Ἐπιστολῆς) τοῦ ἄκρου Ἀρχιερέως τῆς Ῥώμης, Λέοντος ἁγίου τοῦ μεγάλου, εἰς τὴν δευτέραν Πρᾶξιν τῆς Συνόδου ἐφώναξαν· « ὁ Πέτρος διὰ τοῦ Λέοντος οὕτως ὡμίλησε κτλ. »

Ἀντίθεσις.

Ἡ τοῦ Πάπα Λέοντος Ἐπιστολὴ πρὸς τὴν Τετάρτην Οἰκουμενικὴν Σύνοδον, τὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν, καίτοι ὀρθόδοξος οὖσα, ὑπέπεσεν ὅμως ἐξετάσει Συνοδικῇ καὶ δοκιμασίᾳ, εἴγε τῇ ὁμολογίᾳ τῆς Πίστεως τῆς τε Πρώτης καὶ Δευτέρας, καὶ τῇ τοῦ ἱεροῦ Κυρίλλου τῆς Τρίτης τῶν Οἰκουμενικῶν Συνόδων συνᾴδει, ὡς ἐν ταῖς πράξεσι ταύτης τῆς Δ΄ Συνόδου ἐμφαίνεται. Μετὰ δὲ τὴν γενομένην ἀνάκρισιν ταύτης, καὶ ἐρώτησιν, εἰ Ὀρθόδοξος αὕτη καὶ σύμφωνος τῷ ὅρῳ τῶν τριῶν Οἰκουμενικῶν Συνόδων, ἀπεκρίθη ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, ὅτι σύμφωνος τῷ ἱερῷ Συμβόλῳ τῶν τε τριακοσίων δέκα καὶ ὀκτώ, καὶ τῶν ἑκατὸν πεντήκοντα, καὶ τοῖς πραχθεῖσιν ἐπὶ Κυρίλλου παρὰ τῶν ἐν Ἐφέσῳ· καὶ ὅρα, οὐχὶ ἀπὸ τῆς Ἐπιστολῆς ταύτης τοῦ Λέοντος τῆς εἰς δοκιμασίαν ὑπαχθείσης, ἡ περὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς κρίσις καὶ διάλυσις τῆς ἐγερθείσης ἐν τῇ Ἐκκλησίᾳ ταραχῆς ἐγένετο, ἀλλ᾽ ἀπὸ τῆς τε ἐν Νικαίᾳ, τῆς ἐν Κωνσταντινουπόλει καὶ τῆς ἐν Ἐφέσῳ τῶν Συνόδων· ἐκ δὲ τούτου πρόδηλον, τίς ἄρα μείζων, ὁ ἐξεταζόμενος καὶ ανακρινόμενος, ἢ ὁ ἐξετάζων καὶ κρίνων; Ὁ γὰρ Λέων, καίτοι ὀρθοδοξῶν καὶ ἅγιος ὤν, οὐδὲν ἐν τῇ πρὸς τὴν Σύνοδον Ἐπιστολῇ αὐτοῦ εἶπεν ἐξ αὐτοῦ, ἀλλ᾽ ἅπερ εἶπον οἱ πρὸ αὐτοῦ τῶν Συνόδων Πατέρες, ταῦτα ὁμολογῶν ἐξέθετο. Ὅθεν οὐδὲ μοναρχικὸν ἀξίωμα ἢ Πρωτεῖον ἐκ τούτου συνάγεται, ὡς οἱ τῆς Ῥώμης τὴν τοῦ Λέοντος Ἐπιστολὴν ταύτην πρὸς τὴν Δ΄ Σύνοδον σταλεῖσαν, πρὸς δεῖξιν δῆθεν κυριότητος, οἴονται. Καὶ ἐὰν ἡ Λέοντος αὕτη Ἐπιστολὴ

ἐκλήθη στήλη τῆς Ὀρθοδοξίας, ἀλλὰ καὶ τὰ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς Γράμματα πρὸς τὸν Πατριάρχην Ταράσιον, παρὰ τῶν Πατέρων τῆς Ἑβδόμης Οἰκουμενικῆς Συνόδου, *Στύλος εὐσεβείας* ἐκλήθησαν, καὶ ἐναλλὰξ ἡ τοῦ Ταρασίου πρὸς τοὺς Ἀνατολικοὺς αὐτοὺς Ἐπιστολή, *Ὅρος Ὀρθοδοξίας* παρὰ τῶν Πατέρων τῆς Ζ′ Συνόδου ἐπωνομάσθη. Στήλη οὖν Ὀρθοδοξίας, στύλος Εὐσεβείας, καὶ Ὅρος Ὀρθοδοξίας, τὰ αὐτὰ ἐστί.

Ζητηθείσης παρὰ τῶν Πατέρων τῆς Δ′ Συνόδου πρῶτον, τῆς τοῦ ἱεροῦ Κυρίλλου Ἀλεξανδρείας Ἐπιστολῆς, καὶ ἀναγνωσθείσης, ἐβόησεν ἡ Σύνοδος· « Κύριλλος οὕτω πιστεύει, καὶ ἡμεῖς οὕτω πιστεύομεν· αἰωνία ἡ μνήμη Κυρίλλου. » Ἀναγνωσθείσης δ᾽ εἶτα καὶ τῆς τοῦ Λέοντος, ἐβόησαν ἐπίσης· « Αὕτη ἡ Πίστις τῶν Πατέρων, αὕτη ἡ Πίστις τῶν Ἀποστόλων, Πέτρος διὰ Λέοντος ταῦτα ἐφώνησε », καὶ εἶτα προσέθηκαν, « Οἱ Ἀπόστολοι οὕτως ἐδίδαξαν ». Δῆλον οὖν ὅτι, ἀπὸ τῆς πρὸς τὸν Κύριλλον συμφωνίας, οἱ Πατέρες πιστὸν τὸν Λέοντα ἀποφαίνονται. Ἐπεὶ δ᾽ οὐκ ἔδωκε τῷ Κυρίλλῳ ἡ τούτου Ἐπιστολὴ Πρωτεῖον, οὐδ᾽ ἄρα τῷ Λέοντι.

Πρότασις Θ′.

« Οἱ Ῥωμαϊκοὶ Ἀρχιερεῖς (σελ. 10.) ἔλαβον τὸ πρῶτον μέρος εἰς τὰς Συνόδους, κυρίως δὲ εἰς τὰς Οἰκουμενικάς, καὶ ὅτι ἡ ἐξουσία των ἐπεκαλέσθη καὶ πρὶν τῆς συγκροτήσεως τῶν Συνόδων καὶ ὕστερον, ἐκτὸς τῶν Συνόδων ἠδυνάμεθα ν᾽ ἀναφέρωμεν πολλὰς ἄλλας πράξεις καὶ Συγγράμματα τῶν Πατέρων καὶ ἀρχαίων Ἀποστολικῶν, δι᾽ ὧν δεικνύεται, ὅτι τὸ τῶν Ῥωμαϊκῶν Ἀρχιερέων Πρωτεῖον ἴσχυεν εἰς τὰς Ἀνατολὰς παρὰ τοῖς ὑμετέροις Πατράσι κτλ. »

Ἀντίθεσις.

Ἐν πρώτοις, οὐδεμία τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων συνεκροτήθη ἐκ Ποντιφικῆς τοῦ Ῥώμης δοκούσης ἐξουσίας, ἐπικαλεσθείσης οἷον καὶ πρὸ τῆς τῶν Συνόδων συναθροίσεως, ἢ καὶ μετὰ ταῦτα, ἀλλὰ θετικῶς καὶ κυρίως, ὡς κατάδηλον ἀπό τε τῶν Συνοδικῶν Πράξεων καὶ τῶν ἱστοριῶν, παρὰ τῆς ὑπερτάτης ἐξουσίας καὶ αὐθεντίας τῶν Ὀρθοδόξων Ἀνατολικῶν Αὐτοκρατόρων, τῶν διὰ θεσπίσματος αὐτῶν τοὺς ἁπανταχοῦ Ἀνατολῆς καὶ Δύσεως αὐτῆς τῆς ἱερωσύνης Ἀρχηγοὺς συγκαλεσάντων παῤῥησιασθῆναι ἢ αὐτοπροσώπως, ἢ διὰ τοποτηρητῶν. Ὅτι δὲ οὔτε τῶν Παπῶν πρὸς συγκρότησιν τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων ἐδέησέ ποτε ἡ ἐπίνευ-

σις, οὔτε ἐν ἐξουσίᾳ, ἀλλ' ἐν ταπεινότητι οἱ τοῦ Πάπα Τοποτηρηταὶ ἐπαῤῥησιάζοντο, ἀπόχρη πρὸς δήλωσιν τὰ ἐφεξῆς. Οἱ ἀπὸ τοῦ Πάπα Ἀγάθωνος ἀποσταλέντες Λεγάτοι εἰς τὴν Ἕκτην Οἰκουμενικὴν, εἶπον πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον τὸν Πωγωνάτον· « Δέσποτα, κατὰ τὴν δοθεῖσαν Σάκραν ἐκ τοῦ Θεοφόρου » ὑμῶν Κράτους πρὸς τὸν ἁγιώτατον ἡμῶν Πάπαν, ἀπεστάλημεν » παρ' αὐτοῦ πρὸς τὰ πανευσεβῆ ἴχνη τῆς Θεοστηρίκτου ὑμῶν Γα- » λήνης μετὰ καὶ ἀναφορᾶς αὐτοῦ. » Ἐν δὲ ταύτῃ διετρανοῦντο ταῦτα· « Κατὰ τὴν εὐσεβεστάτην κέλευσιν (Σάκρα) τῆς Θεοσκε- » πάστου ὑμῶν ἡμερότητος, ἕνεκα ὑπακοῆς ἧς ὀφείλομεν, οὐχ ἕνεκα » παῤῥησίας, πέμπομεν τοὺς παρόντας συνδούλους ἡμῶν, καὶ ὑπὲρ » ὧν γονυπετοῦντες τῇ διανοίᾳ ἱκετικῶς τὴν ὑμετέραν φιλανθρω- » πίαν δυσωποῦμεν, ἵνα ἀποδοχῆς αὐτοὺς ἀξιώσῃ. » (Πράξ. πρώτη τῆς Συν.). Ἐπὶ δὲ τῆς Ἑβδόμης Οἰκουμενικῆς Συνόδου, ὁ Πάπας Ἀδριανὸς, ἀποστέλλων τοὺς Τοποτηρητὰς αὐτοῦ, ἔγραψε πρὸς τοὺς Αὐτοκράτορας Κωνσταντῖνον καὶ Εἰρήνην ταῦτα· « Εὐσεβέστατοι » καὶ Γαληνότατοι Δεσπόται δυσωπῶ μετὰ μεγάλου πόθου καὶ » καρδίας τὴν ὑμετέραν πραότητα, καὶ ὡς παρὼν γονυπετῶν καὶ » τοῖς ὑμετέροις ἴχνεσι κυλινδούμενος ἱκετεύω, καὶ ἐνώπιον Θεοῦ » παρακαλῶ καὶ ὁρκίζω, τὰς ἱερὰς Εἰκόνας ἐν αὐτῇ τῇ Βασιλίδι » Πόλει, καὶ τοῖς ἀμφοτέροις μέρεσι τῆς Γραικίας εἰς τὴν ἀρχαίαν » βάσιν συστῆσαι καὶ στηρίξαι κελεύσατε. » (Πράξ. Β'. τῆς Σ.).

Τὸ δὲ πολυθρύλλητον καὶ περιμάχητον Πρωτεῖον, ὃ περὶ πολλοῦ περιποιεῖται, ὑψοῖ, ἐπαίρει, καὶ ἐπισείει, καθάπερ τὰ νέφη τοὺς κεραυνοὺς, ὁ Ῥώμης, ἐροῦμεν τὸ ἀληθὲς, οὔτε ἐν τοῖς Συγγράμμασι τῶν Ἀνατολικῶν Πατέρων δεικνύεται, οὔτε καὶ ὡς ἰσχύον, καθὰ φρονοῦσιν αὐτὸ οἱ τῆς Ῥώμης Ἀρχιερεῖς, ἐγνώρισεν ἡ Ἀνατολικὴ Ἐκκλησία πώποτε, ἥτις μετὰ τῶν τῆς Ἱερωσύνης Ἀρχηγῶν αὐτῆς τεσσάρων Ὀρθοδόξων Πατριαρχῶν, οὐδὲν ἄλλο πρὸ τοῦ σχίσματος, κατὰ τοὺς τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων ἀποφαντικοὺς Κανόνας, ἀπέδωκε τοῖς τῆς Ῥώμης Προέδροις, εἰμὴ Πρεσβεῖα στάσεως, οὐχὶ δὲ καὶ Πρωτεῖα ἐπὶ τὴν Ἐκκλησίαν ὅλην. Τῆς μὲν πρώτης Οἰκουμενικῆς Συνόδου ὁ ς'. Κανὼν βοᾷ ταῦτα· « Τὰ ἀρχαῖα ἔθη » κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν » ἐν Ἀλεξανδρείᾳ Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, » ἐπειδὴ καὶ τῷ Ῥώμης Ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν, ὁμοίως δὲ » καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις Ἐπαρχίαις τὰ πρε- » σβεῖα σώζεσθαι ταῖς Ἐκκλησίαις. »

Ἀπὸ δὲ τοῦ ῥηθέντος ἱεροῦ ψηφίσματος προδήλως ὁρᾶται τὸ, οἵαν ἐξουσίαν εἶχεν ὁ Ῥώμης, τὴν αὐτὴν καὶ ἴσην εἶχον καὶ ὁ Ἀλε-

ξανδρείας καὶ ὁ Ἀντιοχείας καὶ οἱ ἄλλοι τῶν Ἐπισκόπων. Ἐκ δὲ τούτου συνάγεται ἄρα σαφῶς, πόσον μακρὰν ἀπεῖχεν ἡ τῶν Οἰκουμενικῶν πρώτη τοῦ γνωρίσαι ἐν τῷ Ῥώμης Πρωτεῖον παντοκρατορικῆς ἐξουσίας ἐπὶ τὴν καθόλου Ἐκκλησίαν ἔχοντι, ἢ κεφαλὴν αὐτὸν τῆς Ἐκκλησίας...

Τῆς δὲ δευτέρας Οἰκουμενικῆς Συνόδου ὁ τρίτος Κανὼν θεσπίζει ταῦτα· « Τὸν μέν τοι Κωνσταντινουπόλεως Ἐπίσκοπον ἔχειν τὰ » Πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης Ἐπίσκοπον, διὰ τὸ εἶ- » ναι αὐτὴν Νέαν Ῥώμην. »

Ἐὰν δ' ὑποτεθῇ ἐξαίρεσίς τις ἐν τῷ Ἐπισκόπῳ τῆς Ῥώμης, ἐστὶν αὕτη ἁπλῶς ἡ κατὰ τὰ Πρεσβεῖα τῆς στάσεως τιμὴ, καὶ οὐδ' ὅλως Πρεσβεῖα γενικῆς ἐξουσίας. Παρατηρητέον δ' ἐπισταμένως τὴν δύναμιν τοῦ Κανόνος, τίνος ἕνεκα ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης; διὰ τὸ εἶναι αὐτὴν Νέαν Ῥώμην· καὶ τίνι λόγῳ ὁ Ῥώμης πρὸ τούτου; διὰ τὸ εἶναι Ἀρχαίαν Ῥώμην. Ἰδοὺ ἐκπεφασμένως οἵαν ἐξαίρεσιν Πρεσβείου δίδωσιν ἡ δευτέρα τῶν Οἰκουμενικῶν Συνόδων τῷ Ῥώμης, καὶ μηδαμῶς ἐξηρτημένην ἄλλην ἐξουσίαν.

Ἡ δὲ τρίτη τῶν Οἰκουμενικῶν Συνόδων ἐπικυροῦσα τὰ ἐξ ἀρχῆς τῆς ἀνεξαρτησίας δίκαια πρός τε τοὺς Ἐπισκόπους τῆς Κύπρου, καὶ ἄλλους, ὡς ἐπηρεαζόμενα ὑπὸ τῶν κατὰ μέρος Ἐπισκόπων, καὶ περιορίζουσα τὴν ἐξουσίαν ἑκάστου Ἐπισκόπου ἐν μόναις ταῖς ἰδίαις Ἐπισκοπαῖς καὶ οὐ περαιτέρω, διεθέσπισεν ἐπὶ προφυλακῇ τοῦ λοιποῦ ταῦτα· (Καν. Η'.) « Ἵνα μὴ οἱ Κανόνες τῶν Πατέρων παρα- » βαίνωνται, μηδ' ἐν ἱερουργίας προσχήματι ἐξουσίας τύφος κοσμι- » κῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν » ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ Κύριος ἡμῶν » Ἰησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. »

Τῷ τοιούτῳ οὖν τρόπῳ καὶ ἡ ἱερὰ αὕτη Σύνοδος ἀπέῤῥιψεν ἀποδοκιμάσασα καὶ μὴ δεχθεῖσα τοιαύτην αὐτοδέσποτον ἀπόλυτον ἐξουσίαν τῶν Ἐπισκόπων (οἵαν ἀποδέχεται τὴν σήμερον ἐν τῷ Πάπᾳ ἡ Ἐκκλησία τῆς Ῥώμης), καὶ ἔλαβεν ἡ Σύνοδος σοβαρὰν προσοχὴν, ἵνα μὴ τοιοῦτος ἐξουσίας τύφος ἀναφανῇ τοῦ λοιποῦ ἐν μέσῳ τῶν Ποιμένων τῆς Ἐκκλησίας.

Ὁ δὲ εἰκοστὸς ὄγδοος Κανὼν τῆς Τετάρτης Οἰκουμενικῆς Συνόδου βοᾷ καὐτὸς ταῦτα· « Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις » ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα Κανόνα τῶν ἑκατὸν πεν- » τήκοντα Θεοφιλεστάτων Ἐπισκόπων (τὸν Γ'. τῆς Β'. Συνόδου), » τῶν συναχθέντων ἐπὶ τοῦ εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου, » γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ » τῶν Πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κωνσταν-

» τινουπόλεως Νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς Πρεσβυτέρας » Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν Πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως » ἀποδεδώκασι τὰ Πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ » ἑκατὸν πεντήκοντα Ἐπίσκοποι, τὰ ἴσα Πρέσβεια ἀπένειμαν τῷ » τῆς Νέας Ῥώμης ἁγιωτάτῳ Θρόνῳ, εὐλόγως κρίναντες, τὴν Βα- » σιλείᾳ καὶ Συγκλήτῳ τιμηθεῖσαν Πόλιν, καὶ τῶν ἴσων ἀπολαύ- » ουσαν Πρεσβείων τῇ Πρεσβυτέρᾳ Βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς Ἐκ- » κλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' » ἐκείνην ὑπάρχουσαν. »

Κατὰ δὲ τὸ θέσπισμα καὶ ταύτης τῆς Συνόδου, σκοπεῖν δεῖ πρῶτον, ὅτι ἡ ἱερὰ Σύνοδος ἀποδέχεται μὲν τὰ Πρεσβεῖα τοῦ Ῥώμης, διὰ μόνην τὴν Ῥώμην, οὐχὶ δὲ καὶ ἄλλην ἐν αὐτῷ ὑπερβάθμιον ἐξουσίαν, οἵαν τὴν σήμερον αὐτὸς γαύρως περιβάλλεται· δεύτερον, τῷ τῆς Νέας Ῥώμης Θρόνῳ καθώσπερ ἡ δευτέρα, οὕτω καὶ ἡ τρίτη τῶν Οἰκουμενικῶν Συνόδων, ἀπέδωκε τῷ Θρόνῳ τῆς Πρεσβυτέρας Ῥώμης τὰ αὐτὰ Πρεσβεῖα. Ὅθεν, ἐὰν ὁ Ῥώμης ἔλαβε Πρεσβεῖα στάσεως καὶ τιμῆς πρὸ τοῦ Κωνσταντινουπόλεως, ἐπὶ τούτῳ μόνῳ ἔλαβε ταῦτα, διότι ἄλλως ἦν ἀδύνατον τοῦ εἶναι ἅμα δύω πρώτους, καὶ οὐχὶ ἐπὶ τούτῳ, ἵν' ἔχῃ ὑπεροχήν τινα ἰδικιτέρας ἀποκλειστικῆς Ἐξουσίας καὶ ἰσχύος ἐπὶ τὴν καθόλου Ἐκκλησίαν. Ὁ Κωνσταντινουπόλεως ἦν ἐπίσης ἐν τῇ Νέᾳ, ὅτι ὁ Ῥώμης ἐν τῇ Ἀρχαίᾳ, ἡ δὲ τῆς Νέας Ῥώμης παρὰ τοσοῦτον ἐξήρτητο τῆς Ἐκκλησίας τῆς Πρεσβυτέρας Ῥώμης, παρ' ὅσον καὶ αὐτὴ τῆς ἄλλης· τὸ αὐτὸ δ' ἐννοεῖται καὶ περὶ τῶν λοιπῶν τριῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας Πατριαρχῶν, οἵτινες ἔν τε Συνόδοις καὶ Συνελεύσεσι τῷ τε Ῥώμης καὶ τῷ Κωνσταντινουπόλεως ἀπέδωκαν πάντοτε Πρεσβεῖα στάσεως μόνης καὶ Προεδρείας, καὶ οὐδὲν ἥκιστα ἕτερον.

Τέως καὶ ἡ Ἕκτη Οἰκουμενικὴ διὰ τοῦ τριακοστοῦ ἕκτου Κανόνος αὐτῆς, ἀνανεοῦσα τὰ ἐπὶ τῶν προλαβουσῶν Συνόδων περὶ τῶν Πατριαρχικῶν Θρόνων ἀποφανθέντα καὶ νομοθετηθέντα, ἐπάγει καὶ αὐτὴ ταῦτα·

« Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα Πατέρων ἁ- » γίων, τῶν ἐν τῇ Θεοφυλάκτῳ ταύτῃ καὶ Βασιλικῇ Πόλει συνελ- » θόντων, καὶ τῶν ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνα- » θροισθέντων νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταντινου- » πόλεως Θρόνον τῶν ἴσων ἀπολαύειν Πρεσβείων τοῦ τῆς Πρεσβυ- » τέρας Ῥώμης Θρόνου, καὶ ἐν τοῖς Ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον » μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' » ὃν ὁ τῆς Ἀλεξανδρείας μεγαλοπόλεως ἀριθμείσθω Θρόνος, εἶτα ὁ » τῆς Ἀντιοχείας, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν Πόλεως. »

Κατὰ δὲ τὰ θεσπισθέντα Συνοδικῇ ἀποφάσει καὶ ταῦτα, ὁ μὲν Κωνσταντινουπόλεως κατ᾽ ἔθος τῶν Ἀνατολικῶν ὀνομάζεται Πατριάρχης, ὁ δὲ Ῥώμης κατ᾽ ἔθος τῶν Δυτικῶν Πάπας, ὡς καὶ ὁ Ἀλεξανδρείας, κατ᾽ ἔθος ἀρχαῖον, Πάπας ἐπίσης. Ἐκ δὲ τούτων πασῶν τῶν ῥηθεισῶν ἀποφαντικῶν ἀποδείξεων τῶν Οἰκουμενικῶν Συνόδων, ἐν αἷς καὶ οἱ μακάριοι ἐκεῖνοι τότε Πάπαι συνήδρευον, συνεψήφουν καὶ συνεπικύρουν, κρινάτω πᾶς ἀπαθὴς, πόσον ἀπέχει ἀληθείας τὸ ὑποτιθέμενον τουτὶ Πρωτεῖον, ὡς ἰσχῦόν ποτε εἰς Ἀνατολὰς παρὰ τοῖς ἡμετέροις Πατράσι, τουτέστιν ἐν ταῖς Οἰκουμενικαῖς ταύταις Συνόδοις· ἀλλ᾽ οὕτω κοινῇ σχεδὸν καὶ φίλον καὶ σύνηθες τῇ Ῥώμῃ ἤδη, πάντα κατὰ τὸ δοκοῦν παρανοεῖν, παρερμηνεύειν καὶ διαστρέφειν.

Οὐδὲν οὖν τοιοῦτον Πρωτεῖον, ἢ Κεφαλὴν Ἐκκλησίας, ἢ Παντοκρατορικὴν ἀρχὴν, ἢ Κέντρον ἑνότητος, οἶδεν ἢ ἐγνώρισε πώποτε ἐν Ἐπισκόπῳ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ὡς καλῶς εἰδυῖα, ὅτι οἱ τῆς πρώτης Ἐκκλησίας Ἐπίσκοποι διὰ μνήμης εἶχον πάντοτε τὸν λόγον τοῦ Κυρίου, « ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος » (Ματθ. Κεφ. Κ΄. 26.). Καὶ ἐπειδὴ τούτων ἕκαστος, κατὰ τὴν θείαν ἐντολὴν ταύτην, ἡγεῖτο ἑαυτὸν δοῦλον ἐλάχιστον, ἕως οὗ ὑπῆρχον ἐν τοῖς ζῶσιν Ἀπόστολοι καὶ τούτων ὁμιληταὶ Ἀποστολικοὶ ἄνδρες, οὐδεὶς τῶν Ἐπισκόπων ἐφαντάσθη πώποτε Πρωτεῖον καὶ ὑπεροχὴν ἐπ᾽ ἄλλους· ἀλλ᾽ αἱ τῶν ἐπισημοτέρων τότε Πόλεων Ἐκκλησίαι, αἱ ἔχουσαι ἀριθμὸν εὐσεβῶν πλείονα, καὶ μᾶλλον ἐκεῖναι, ὧν ἦν γνωστὴ ἡ ἄμεσος διαδοχὴ παρὰ τῶν Ἀποστόλων, προσέλαβον Πρεσβεῖον, πρὸ τῶν ὁμόρων ἄλλων ἧττον ἐπισήμων κατὰ τὸ πλῆθος τῶν χριστιανικῶν Ἐκκλησιῶν, γινόμεναι οἷον καταφύγιον αἱ δεύτεραι πρὸς τὰς πρώτας. Τοιαῦται γοῦν ἦσαν ἥ τε τῆς Ἀντιοχείας, ἧς οἱ Ἐπίσκοποι συνεστήθησαν παρὰ τῶν Ἀποστόλων Πέτρου καὶ Παύλου, ἡ τῆς Ἀλεξανδρείας παρὰ τοῦ Εὐαγγελιστοῦ Μάρκου, καὶ ἡ τῆς Ῥώμης παρὰ Πέτρου ὁμοῦ καὶ Παύλου· ἡ δὲ τάξις εἶτα, ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων, οὕτως ἀπήτησεν, ὥστε ἐκ τῶν τριῶν ῥηθέντων Ἐπισκόπων τῶν ἐπισημοτέρων Ἐκκλησιῶν προτιμηθῆναι ἕνα, καὶ τούτῳ δοθῆναι τὸ τῆς στάσεως Πρεσβεῖον· ἔνθεν τοι κατὰ τοὺς λόγους τοῦ Οἰκουμενικοῦ θεσπίσματος, οἱ Πατέρες τῷ Θρόνῳ τῆς Πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν Πόλιν ἐκείνην, εἰκότως ἀποδεδώκασι τὰ Πρεσβεῖα. Ἐμβριθῶς δὲ παρατηροῦντες τοὺς λόγους τοῦ Συνοδικοῦ τοῦδε Κανόνος « οἱ Πατέρες ἀποδεδώκασι τὰ Πρωτεῖα, » ἀνενδοιάστως ἐπειγόμεθα γνῶναι τὸ τοῦ συναγομένου βέβαιον, ὅτι οὔτε οἱ Ἀπόστολοι, οὔτε καὶ αὐτὸς ὁ Χριστὸς, δεδώκασι τῷ Ῥώμης ταῦτα.


Ἐπειδὴ δὲ ἡ τοῦ Χριστοῦ Ἐκκλησία κατ' οὐδένα λόγον λογίζεται σῶμα τῶν Προέδρων τῆς Ῥώμης, ἄρα οὐδαμῶς δύνανται εἶναι κεφαλὴ ταύτης· ἐκτὸς γὰρ τοῦ Ἰησοῦ Χριστοῦ, οὐδεὶς ἄλλος, κατὰ τὴν ἱερὰν Γραφὴν καὶ τὸν Οὐρανοβάμονα θεῖον Ἀπόστολον, ἐστὶ Κεφαλὴ τῆς Ἐκκλησίας (πρὸς Ἐφεσ. Κεφ. Δ'. 8—15.).

Ἐὰν δὲ πρὸς δεῖξιν τοῦ Πρωτείου προβάλληται ἡ τοῦ ἱεροῦ Κλήμεντος Ἐπιστολὴ πρὸς τοὺς Κορινθίους, οὐδὲν συνάγεται ἐκ τούτου, διότι κατὰ τοὺς ἀρχαίους ἐκείνους χρόνους, ὡς ἀνωτέρω ἐῤῥέθη, αἱ ἧττονες τὸν ἀριθμὸν εὐσεβῶν Ἐκκλησίαι, ἐπὶ πραγμάτων τῶν τῆς Πίστεως καὶ ἄλλων διαφορῶν καὶ συζητήσεων, ἀνεφέροντο πρὸς τοὺς Ἐπισκόπους τῶν ἐπισημοτέρων Πόλεων, οἷα ἦν καὶ ἡ τῆς Ῥώμης Ἐκκλησία, οὐχὶ δὲ διὰ τὴν ἣν ἀντιποιοῦνται οἱ τῆς Ῥώμης ἤδη Πρόεδροι ἐπὶ τῆς καθόλου Ἐκκλησίας αὐτῶν Ἔκκλητον, τὴν ὅλως ἄγνωστον (ὡς ὀψὲ δὴ ἐπινοηθεῖσαν), μάλιστα κατ' ἀρχὰς τῆς δευτέρας ἑκατονταετηρίδος· καὶ ἐὰν ὁ Ῥώμης Κλήμης ἔγραψεν εἰς Κόρινθον, «παύσασθαι τῶν κακῶν καὶ τὴν εἰρήνην καὶ ὁμόνοιαν πολιτεύεσθαι» παραινῶν, ἀλλὰ πρὸς τοῖς ἄλλοις ἀλλαχοῦ Ἐπισκόποις, καὶ ὁ ἐπὶ Ἀντωνίου Βήρου ἀκμάσας Κορίνθου Διονύσιος, ἱερὸς ἀνὴρ, μαθητὴς τῶν συνομίλων τοῖς Ἀποστόλοις, λόγων καὶ φιλοπονίας ἔμπλεως, ἔγραψε πρὸς πολλὰς Ἐκκλησίας, χρησιμώτατον καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ἑαυτὸν ἐν ἅπασι καθιστῶν· τοσοῦτον δὲ πόθον ἐν πολλαῖς τῶν Ἐκκλησιῶν ἐξῆψαν αἱ διδασκαλίαι καὶ μαθήσεων ἐμφαντικαὶ αὐτοῦ Ἐπιστολαὶ, ὥστε ἐζήτουν καὶ δευτέρας, ὡς ῥεούσας οὐ γάλα, ἀλλὰ τροφὴν στερεάν. Ἔγραφον οὖν, κατὰ τοὺς τότε πρώτους χρόνους τῆς τοῦ Χριστοῦ Πίστεως, οἱ θεσπέσιοι ἄνδρες τοιαύτας πρὸς τὰς Ἐκκλησίας Ἐπιστολὰς, οὐ διὰ φιλαρχίαν, ἀλλὰ πρὸς οἰκοδομὴν, κατὰ τὸν θεῖον Ἀπόστολον, καὶ καταρτισμὸν τῆς πανταχοῦ Χριστοῦ Ποίμνης.

Οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας, εὐχαριστοῦσι τῇ Μακαριότητι αὐτοῦ διὰ τὰς προτροπὰς, δι' ὧν ἔσπευσε καλῶν ἡμᾶς, καὶ ἄνευ ἀναβολῆς, ὅπως ἐπιστρέψωμεν εἰς τὴν κοινωνίαν τοῦ Θρόνου αὐτοῦ, ὡς θεμελίου ὄντος τῆς ἀληθοῦς τοῦ Χριστοῦ Ἐκκλησίας κτλ. Λέγομεν μὲν πρῶτον, ἡ Ἀνατολικὴ Ἐκκλησία οὐδὲ ἐγνώρισέ ποτε, ἀφ' ἧς συνεστήθη, καὶ οὐδὲ γνωρίζει, ὡς ἄνωθεν ἀποχρώντως ἀνεπτύχθημεν, τὸν Πέτρον ἢ ἄλλον, ὡς θεμέλιον τῆς Ἐκκλησίας. Πρώτην οὖν Πέτραν θεμελίου αὐτῆ, ὡς μὴ ἑτεροφρονοῦσα, ὁμολογεῖ καὶ πιστεύει μόνον τὸν Ἰησοῦν Χριστόν· «θεμέλιον γὰρ ἄλλον » οὐδεὶς δύναται θεῖναι, παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χρι» στός.» (Α'. πρὸς Κορινθ. Κεφ. Γ'. 11.). Δεύτερον δὲ προβάλλεται ἐν τῇ Ἐπιστολῇ, ὅτι θελήσαντες οἱ Ἀνατολικοὶ ἀπεσπάσθησαν τῆς

στερεότητος τῆς Πέτρας, ἐφ' ἧ ᾠκοδομήθη ἡ τῆς Ῥώμης Ἐκκλησία· τουτέστιν ἡ Ἀνατολικὴ ἐχωρίσθη τῆς Δυτικῆς Ἐκκλησίας. Ἀλλ' ἵνα προβληθῇ τοῦτο μετ' ὀρθοῦ λόγου, δέον ἦν ἀποδειχθῆναι τὴν Δυτικὴν τῆς Ῥώμης Ἐκκλησίαν ὡς διαμείνασαν, καὶ μετὰ τὴν ῥῆξιν, τὴν αὐτὴν, οἵα ἦν ἀπ' ἀρχῆς, τὴν δ' Ἀνατολικὴν Ἐκκλησίαν ἐξ ἐναντίας, παραβᾶσαν νόμον τινὰ μέγαν, ἀχώριστον τῆς Καθολικῆς μιᾶς καὶ ἁγίας Ἐκκλησίας· ἀλλ' ἐπειδὴ τοῦτο σεσιώπηται, χωροῦμεν ἐπ' ἄλλο. Παρατηροῦντες καὶ τὴν μίαν καὶ τὴν ἄλλην Ἐκκλησίαν ἐπὶ τῶν χρόνων τῆς αὐτῶν ἑνώσεως, ἢ μᾶλλον, παρατηροῦντες τὴν Καθολικὴν Ἐκκλησίαν κατὰ τὰς ὀκτὼ πρώτας ἑκατονταετηρίδας, εὑρίσκομεν, ὅτι αὕτη πρὸς διατήρησιν ἀκριβῆ καὶ ἀσφαλῆ τῆς ἑνώσεως αὐτῆς καὶ καθαρότητος, προσελάβετο, ὡς ἄλλον νόμον ἱερὸν, τὸ ἑξῆς. Οἱ ἐν γένει μὲν ὀρθότης τῆς Πίστεως, καὶ ὁ Κανονικὸς ὅρος τῆς Καθολικῆς Ἐκκλησίας θεσπίζεται παρὰ τοῦ λόγου τοῦ Θεοῦ διὰ κοινῆς Συμπνοίας ταύτης καὶ τῶν Πατέρων αὐτῆς καὶ Διδασκάλων· αἱ δὲ κατὰ μέρος τοπικαὶ Ἐκκλησίαι δύνανται μὲν πρᾶξαι ἰδικὰς διατάξεις, ἀλλ' ἀνηκούσας μόνη τῇ Ἐκκλησιαστικῇ εὐταξίᾳ, οὐχὶ δ' αὐθαιρέτως τοιαύτας, ὥστε διασεῖσαι τὰς τοῦ Χριστιανισμοῦ βάσεις· ἐπὶ δὲ τῷ ἱερῷ νόμῳ τούτῳ τεθεμελίωνται ἰσχυρῶς καὶ αἱ Οἰκουμενικαὶ τῶν Συνόδων, καὶ οὐδ' ἄν ποτε ὑπῆρξαν, ἐὰν αὐτὸς οὐχ ὑφίστατο.

Ἀρξώμεθα οὖν ἀπὸ τῶν πρώτων ὀκτὼ αἰώνων τῆς Οἰκουμενικῆς μιᾶς ἁγίας Ἐκκλησίας, καὶ προχωροῦντες ἄχρι τῶν χρόνων, καθ' οὓς ἐγένετο ἡ τῶν δύω Ἐκκλησιῶν διαίρεσις, ἐρευνήσωμεν, εἰ ὁ ῥηθεὶς ἱερὸς αὐτὸς νόμος τῆς Καθολικῆς Ἐκκλησίας διετηρήθη· καὶ εἰ διετηρήθη, ἐν ποίᾳ ἄρα τῶν δύω τούτων ἀσυμφώνων ἤδη καὶ διῃρημένων Ἐκκλησιῶν διαμένει; Παρατηροῦντες δ' ἀτενῶς τὴν τῆς Ῥώμης Ἐκκλησίαν, βλέπομεν ἐν αὐτῇ ὁμολογίαν Πίστεως νέαν, τὴν ἐν Τριδέντῳ τῆς Γερμανίας συστάσης Συνόδου τῷ 1545 ἔτει, Ποντιφικοῦντος Παύλου τοῦ τρίτου, κυρωθεῖσαν, Πίστιν ὁμολογίας διαφέρουσαν, καὶ κατὰ διάμετρον πάντη ξένην καὶ ἀλλοτρίαν τῆς ὁμολογίας τῆς ἀρχαίας Καθολικῆς Ἐκκλησίας καὶ τοῦ ἐν Νικαίᾳ ἐπὶ τῆς πρώτης, καὶ τῆς ἐν Κωνσταντινουπόλει δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων ἱεροῦ Συμβόλου. Κατὰ δὲ τοῦτον τὸν Τριδέντινον ὅρον, πρὸς τῇ ἐναντίον τῶν ἐν τῷ Εὐαγγελίῳ ἀποφαντικῶν λόγων τοῦ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ παναθέσμῳ προσθήκῃ τοῦ ἀρχαίου σεπτοῦ Δόγματος, ἕπονται δόγματα καινόφωνα ἀντίστροφα τοιαῦτα, καὶ διατάγματα παράβολα, ὧν οὐδὲ ἴχνος ὑπάρχει ἐν τῷ ἀρχαίῳ γεραρῷ Συμβόλῳ, ἅτινα ἡ τολμηρὰ καινοτομία προσέθετο· οἷον, πρῶτον, ὁμολογῶ μυστήριον ἀληθὲς, ὅλον τὸν Ἰησοῦν Χριστὸν



ΕΙΔΟΠΟΙΗΣΙΣ.

Τοῦ Τεύχους τούτου 15 Τυπογραφικὰ φύλλα ἐτυπώθησαν κατὰ τὸ 1866 ἔτος. Τῶν δὲ λοιπῶν ἡ ἐκτύπωσις ἕνεκα μεγίστης ζημίας ἐπισυμβάσης μοι ἐβράδυνε μέχρι τοῦ ἐνεστῶτος 1870 ἔτους.

Τιμᾶται ἀντὶ ἑνὸς καὶ ἡμίσεος Μετζιδιὲ διὰ τοὺς ἐντὸς τῆς Πρωτευούσης, διὰ δὲ τοὺς ἐκτὸς, ἀντὶ ὀκτὼ φράγκων.

Ὁ Ἐκδότης

Θ. ΑΡΙΣΤΟΚΛΗΣ.

ΚΩΝΣΤΑΝΤΙΟΥ Α΄.

ΤΟΥ ΑΠΟ ΣΙΝΑΙΟΥ ΑΟΙΔΙΜΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.

ΣΥΝΕΧΕΙΑ

ΤΩΝ ΕΛΑΣΣΟΝΩΝ ΣΥΓΓΡΑΦΩΝ

ΜΕΤΑ ΤΟΥ ΠΑΡΑΡΤΗΜΑΤΟΣ.

ΥΠΟ

ΘΕΟΔΩΡΟΥ Μ. ΑΡΙΣΤΟΚΛΕΟΥΣ.

ΤΟΥ ΕΚ ΧΑΛΚΗΣ.



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

1870.

ΚΩΝΣΤΑΝΤΙΟΥ Α.



καὶ ἀκέραιον μεταλαμβανόμενον ὑφ' ἑνὶ καὶ μόνῳ τῷ εἴδει: δεύτερον, πιστεύω εἰς τὴν τῶν Συγχωρητηρίων (Ἰνδουλγεσιῶν) δύναμιν, δοθεῖσαν παρὰ τοῦ Ἰησοῦ Χριστοῦ τῇ Ἐκκλησίᾳ, καὶ τὴν τούτων χρῆσιν ὡς σωτήριον τῷ τῶν ἀνθρώπων γένει: τρίτον, τῷ τῆς Ῥώμης Ποντίφικι, καθὰ διαδόχῳ Πέτρου, καὶ Ἐπιτρόπῳ Χριστοῦ ἀληθῆ ὑποταγὴν καὶ εὐπείθειαν τελείαν, ἐφ' ᾧ Θεὸν ὄμνυμι. . . . .

Ὑπ' ὄψιν τοιούτων καὶ τοσούτων καινοτομιῶν καὶ παρεισάκτων ἐν τῇ ἀρχαίᾳ τῆς Πίστεως ὁμολογίᾳ ἄρθρων, ὁρισθέντων αὐθαιρέτως ὡς ἐν Συνόδῳ δῆθεν Οἰκουμενικῇ, καθὰ οἱ Δυτικοὶ λέγουσι, μὴ εἰδότες, ὅτι ἐξ οὗ χρόνου τὰ τῶν Χριστιανῶν διῃρέθησαν εἰς δύω ἀσύναπτα ἥμισυ, Σύνοδος Οἰκουμενικὴ οὐκ ἔστιν, οὐδὲ λέγεται ἡ μὴ γενομένη κατὰ συναίνεσιν καὶ ἕνωσιν ἁπάσης τῆς Καθόλου Ἐκκλησίας· ἡ δ' ἐν Τριδέντῳ ῥηθεῖσα, οὐδὲ δύναται μάλιστα ὀνομασθῆναι καὶ κοινὴ τῆς Δυτικῆς Ἐκκλησίας, ὡς οὔσης ταύτης τότε ἐν πολλῷ σάλῳ δονουμένης καὶ κυμαινομένης, διῃρημένης καὶ διασπαραττομένης ὑπὸ τοῦ Λουθήρου· ὑπ' ὄψιν οὖν, φαμεν, τῶν τηλικούτων καινοτομιῶν, δὸς δ' εἰπεῖν καὶ τῆς ἀποστασίας τῆς Δυτικῆς Ἐκκλησίας τῆς τε ἀρχαίας πανιέρου ὁμολογίας τῆς Πίστεως, καὶ τοῦ διὰ λόγου Θεοῦ ὁρισθέντος νόμου τῆς ὀρθότητος τῶν Δογμάτων, τῶν ὁμολογουμένων καὶ πρεσβευομένων καὶ παρ' αὐτῆς συμφώνως καὶ ὁμοδόξως ἀπαραλυμάντων μετὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας δι' ὀκτακοσίων καὶ μικρὸν ἐπέκεινα χρόνων, ἠπόρησε, καὶ ἀποροῦσα θαυμάζει ἡ Ἀνατολικὴ αὕτη μετά τε τῶν Προέδρων ταύτης καὶ τοῦ Ὀρθοδόξου πληρώματος, πῶς ὁ Μακαριώτατος Πάπας, ἐπὶ τοιούτου πανδήμου συσσεισμοῦ, ἐπεβάλλετο τοιαύτῃ πράξει ἐπὶ τῷ πεῖσαι πρὸς ἕνωσιν μετὰ τοῦ θρόνου αὐτοῦ τὴν Ἀνατολικὴν Ἐκκλησίαν, τὴν ἐν διηνεκεῖ συμπνοίᾳ καὶ συμφωνίᾳ ἐξ αὐτοῦ τοῦ τῆς εἰς Χριστὸν Πίστεως θείου κηρύγματος μέχρι ταύτης Θεολογοῦσαν καὶ Ἱερουργοῦσαν τὸ αὐτὸ εὐσεβὲς καὶ γνήσιον, ὃ παρέλαβε, τῆς Θεοπαραδότου Πίστεως Δόγμα, καὶ διετήρησε καὶ διατηρεῖ αὐτὸ ἀπαράτρωτον καὶ ἀνέπαφον, ἀναλλοίωτον καὶ ἀπαρασάλευτον, μηδὲν καινοτομήσασα ἢ προσθέσασα ἢ ἀφαιρέσασα; Πῶς δὲ προτρέπει Γένος ἀποσκιρτῆσαι τῶν Πατρῴων καὶ ἀκαινοτόμων, ὃ πρῶτον τῶν ἄλλων Ἐθνῶν ἁπάντων ἐδέξατο τὴν εἰς Χριστὸν Πίστιν, καὶ πρῶτον αὐτὸ τῷ τοῦ Χριστοῦ ὀνόματι ἐπωνομάσθη, καὶ ὅπερ τοσαῦτα κατὰ θρησκείαν καὶ πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ἔπαθεν, καὶ ὅσα ἡ ἀδέκαστος ἱστορία διέξεισι, καὶ ὅσα μετὰ ταῦτα ὑπέστη παρὰ τῆς Ῥώμης καὶ τῶν ἐξ αὐτῆς ἀποστελλομένων πρὸς διάδοσιν, καθὰ λέγουσι, τῆς Πίστεως, τῶν σοφίσμασι, προσδιαλέξεσι, Συγγράμμασιν, ὡς καὶ ἤδη, διαβολαῖς, ἐπηρείαις ποικί-

λαις, τρόποις παντοίοις, μεταπεῖσαι αὐτὸ βουλομένων καὶ διασεῖσαι τῶν Πατροπαραδότων, ἀλλ' εἰς κενὸν κοπιασάντων, ὡς ἐμμένον καθ' ὅλας τὰς περιπετείας τῶν χρόνων, στερεὸν καὶ ἀμετάβλητον ἐν οἷς οἱ Πατέρες ἔθεντο ὁρίοις, μηδεμίαν κενόφωνον ἀνασχόμενον προσθήκην, ἀλλ' ἀπλανῶς καὶ ἀπαρασαλεύτως διακρατοῦν τὰς Ἀποστολικὰς διδασκαλίας καὶ παραδόσεις, κατὰ τοὺς ἐν ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις ὑπὸ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν Πατέρων ἐν ἁγίῳ Πνεύματι ἀποφανθέντας ὅρους καὶ Κανόνας;

Ἀποχρώντως ἡ Ἀνατολικὴ Ἐκκλησία διὰ τῶν Προέδρων καὶ τοῦ ὀρθοδόξου αὐτῆς πληρώματος ἀνεπτύχθη προκαλουμένη ἐπὶ τὸ ἐκκλῖναι τῆς ὁμολογίας τῆς Πίστεως αὐτῆς, ἀποστῆναι τῶν ἱερῶν Δογμάτων, καὶ ὑποκύψαι εἰς τὰ τῆς Ῥώμης, καὶ εἰς αὐτὰ τὰ τῆς ὁμολογίας καινότομα καὶ παρείσακτα Τριδέντινα, δι' ὧν ἡ Δυτικὴ αὕτη Ἐκκλησία, οὐ μόνον τῆς Ἀνατολικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀρχαίας ὀρθῶς δογματιζούσης Ἐκκλησίας τῆς Ῥώμης διῄρηται καὶ διέσχισται· καὶ συλλήβδην, ἐφ' ὅσον τὸ ἀνίατον τῶν καινοτομιῶν, καὶ μᾶλλον, τὸ τῆς προσθήκης καὶ κορωνίδος ὅλων τῶν κακῶν, τῆς Ἐκκλησίας τῆς Ῥώμης ὑφίσταται, καὶ τῇ ἐπιμονῇ τοῦ πρὸς ἀποβολὴν τούτων τῶν καινοτομιῶν. διαμένει ἀσυνάλλακτον καὶ ἀσύμβατον, ἐν μέσῳ τῆς τε Ἀνατολικῆς καὶ τῆς πρώην ἀδελφῆς Λατινίδος Ἐκκλησίας, λέγομεν, χάσμα μέγα συνενώσεως τῶν διεστώτων ἐστήρικται.

Ὡς δὲ πέρας τῆς ἀπαντήσεως ταύτης, ἡ Ἀνατολικὴ Ἐκκλησία ἐπεύχεται, ὅπως ὁ Κύριος ἡμῶν καὶ Δεσπότης Ἰησοῦς Χριστὸς, ἡ Κεφαλὴ ταύτης καὶ ἡ Πέτρα τῆς Πίστεως, ἴασιν δῷ καὶ θεραπείαν τοῖς ὑπὸ τοῦ ἀρχεκάκου ὄφεως ἐπενεχθεῖσι, διὰ τοσούτων καινοτομιῶν, δήγμασι καὶ τραύμασιν, ἀναῤῥώσῃ τὰ πονηθέντα, καὶ ἀναζωογονήσῃ τὰ κακωθέντα μέλη τοῦ σώματος τῆς Ἐκκλησίας, οὗ ἐπὶ τὴν θείαν δύναμιν ἡ Ὀρθόδοξος Ἐκκλησία αὕτη ἐπερειδομένη, πέποιθεν ἀδιστάκτως, ὅτι ἐξ ἐλέους καὶ οἰκτιρμῶν πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν, πανδήμως τερατουργήσει τέως, ἴασιν παρέχουσα τοῖς τραύμασι, ζωὴν ἀντὶ θανάτου, ἕνωσιν ἀντὶ διαιρέσεως, ἀντὶ ἐμπαθῶν διενέξεων, λοιδοριῶν καὶ κακολογιῶν, κατανόησιν, παρὰ Δυτικοῖς, καὶ ἐπίγνωσιν τῆς εναλήθου ἐννοίας περὶ τῆς προαιωνίου ὑποστατικῆς τοῦ Παναγίου Πνεύματος ἐκ τοῦ Πατρὸς ὑπάρξεως, ἀντὶ τῆς λέξεως Προέσεως (ἐλλείψει λέξεως Λατινικῆς ταυτοσημάντου καὶ ἰσοδυνάμου Ἐκπορεύσεως), δι' ἧς αὐτοὶ δοξάζουσι τὰς διαφόρους προόδους, τήν τε ἄναρχον, ἀπερινόητον καὶ ἀπόῤῥητον, καὶ τὴν χρονικὴν τοῦ ἁγίου Πνεύματος, οἷον τὰς κατὰ ταύτην ὑπερφυεῖς αὐτοῦ δωρεὰς, τὰς ἐκ Πατρὸς δι' Υἱοῦ προχεο-

μένας, χορηγουμένας καὶ μεταδιδομένας, ὡς ἓν καὶ ταὐτόν. Ἐπίσης δὲ καὶ τὸ τῆς οὐσίας καὶ τὸ τῆς ὑποστάσεως ἅμα, οὐ δυσὶν ὀνομάτων σημασίαις, ὡς ἡ Ἑλλὰς φωνὴ διαστέλλει, ἀλλὰ μιᾷ μόνῃ λέξει, τῇ κατ' ἐκείνους Σουπστάντσιᾳ, ἀδιαφόρως αὐτοὶ ἀμφότερα συγχέουσιν, ἐκλαμβάνοντες ἀντὶ οὐσίας, ὅτε σημαίνει ὑπόστασιν, καὶ ἀνθ' ὑποστάσεως, ὅτε δηλοῖ οὐσίαν· καὶ τὸ μὲν οὐσιωδῶς ἐξ ἀμφοῖν Πατρὸς ἅμα καὶ Υἱοῦ, καὶ πιστεύει καὶ ὁμολογεῖ ἡ Ἀνατολικὴ αὕτη Ἐκκλησία, τὸ δὲ καθ' ὑπόστασιν, ἤτοι Προσωπικῶς ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα, καὶ ἀπαρνεῖται, καὶ τοὺς οὕτω καινοφωνοῦντας, ἢ μᾶλλον κενοφωνοῦντας, ὡς βλασφήμους ἀποστρέφεται. Τοιουτοτρόπως οὖν μὴ συνιέναι θέλοντες τὴν διαφορὰν οὐσίας καὶ ὑποστάσεως, ἀποσχίζουσιν ἑαυτοὺς τῆς ἀληθοῦς Θεολογίας· ἔνθεν τοι ἡ παρεκτροπὴ πᾶσα ἐκείνων, κἀντεῦθεν τὸ αὐτῶν Σχίσμα, καὶ ἡ τῆς Ἀνατολικῆς Ἐκκλησίας διάστασις.

Ἀλλ' ὁ τὴν εἰρήνην, καὶ τὴν ἐξ αὐτῆς ὁμόνοιαν καὶ σύμπνοιαν βραβεύων τῷ Κόσμῳ Πατὴρ καὶ Θεὸς τὰ ἀμφότερα εἰρηνεύσειεν (εἴγε τὸ περὶ Δόγματος, ὃ δοκώδεσι γόμφοις τῇ διανοίᾳ ἐκεῖνοι ἰσχυρογνώμως τε καὶ ἀπονενοημένως προσήλωσαν, ἀποβαλεῖν θελήσειαν, ἐπεξεργαστικώτερον ἀνιχνεύσαντες), καὶ τὰς ἀπ' ἀλλήλων τῇ διαφωνίᾳ καὶ τῇ διαιρέσει διεστηκυίας δύω ἀδελφὰς Ἐκκλησίας, τῇ κοινωνίᾳ τοῦ καθ' ὕπαρξιν ἀΐδιον ἐξ αὐτοῦ μόνου ὑφεστηκότος ἁγίου Πνεύματος, συνάψειεν, ὡς τὸ πρότερον, γένοιτο, γένοιτο!

Ο. Α. Ε. Χ.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΚΑΙΡΟΥΣ ΕΚΔΟΘΕΝΤΩΝ ΣΟΥΛΤΑΝΙΚΩΝ ΟΡΙΣΜΩΝ ΠΡΟΣ ΤΟΥΣ ΗΜΕΤΕΡΟΥΣ ΥΠΕΡ ΤΩΝ ΑΓΙΩΝ ΕΝ ΙΕΡΟΥΣΑΛΗΜ ΤΟΠΩΝ. (1)

Ἡ Ἱερουσαλὴμ ἐκυριεύθη ὑπὸ τοῦ Χαλίφου Ὄμερ Χατὰπ τῷ 637 ἔτει, καὶ τοῦ Χιτζρὲ τῷ 16, Πατριαρχοῦντος τῆς Ἱερουσαλὴμ Σωφρονίου, πρὸς ὃν ὁ Χαλίφης προσενεχθεὶς εὐμενῶς δέδωκεν Ἀχτιναμέν, ὃν ἔχουσιν οἱ Ἁγιοταφῖται.

(1) Ἰδ. εἰς τὸ Παράρτημ. τὴν ὅην Ἐπιστολὴν καὶ τὴν ὑποσημείωσιν. (Σημ. Ἐκδ.).

Κυριευομένης τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ δεκάτου ἐκ τῆς φυλῆς τῶν Φατιμιέδων καταγομένου, Μελέχι (Βασιλέως) τῆς Αἰγύπτου Πιλλάχι Ἀχμέτ, ἑάλω ἡ ἁγία Πόλις αὕτη ὑπὸ τῶν Σταυροφόρων Λατίνων τῷ 1099 ἔτει καὶ τοῦ Χιτζρὲ 493.

Ὁ θεμελιωτὴς τοῦ Δεβλὲτ Ἐγιουπιὲ, μετὰ τὴν καταστροφὴν τῶν Φατιμιέδων, Γιουσοὺφ Σαλαχαδὶν Σουλτάνος τῆς Αἰγύπτου, πολιορκεῖ τὴν Ἱερουσαλὴμ, νικᾷ τοὺς Σταυροφόρους καὶ ἐκπορθεῖ ταύτην ἔτει 1188, καὶ τοῦ Χιτζρὲ 581. Οἱ δὲ Ὀρθόδοξοι Ἄραβες Χριστιανοὶ τῆς Παλαιστίνης καὶ τῆς Συρίας κατὰ τὴν αἰχμαλωσίαν καὶ σφαγὴν τῶν Λατίνων, ὡς ὑπήκοοι τοῦ Σαλαχαδὶν νικητοῦ, καταβολῇ χρημάτων ἱκανῶν, ἔλαβον ὑπὸ τὴν ἐξουσίαν αὐτῶν τόν τε Ναὸν τῆς Ἀναστάσεως, τὸν ἐν διαστήματι χρόνων 90 κρατούμενον ὑπὸ τῶν Λατίνων, ἐπίσης δὲ τά τε ἔνδον τῆς ἁγίας Πόλεως καὶ τὰ ἔξω ταύτης Ἱερὰ Προσκυνήματα, ὡς εἶχον ταῦτα ἀρχῆθεν πρὸ τῆς ἐκστρατείας τῶν Σταυροφόρων.

Τῷ 1242 ἔτει καὶ τοῦ Χιτζρὲ 641, ὁ τῆς Δαμασκοῦ Σουλτάνος Σαχὶλ Ἰσμαὴλ, τῇ τῶν Σταυροφόρων τῶν ἐμφωλευόντων ἔτι κατὰ τὰ παράλια τῆς Παλαιστίνης, Φοινίκης καὶ Συρίας συμμαχίᾳ, πολεμεῖ τὸν ἐκ τῆς φυλῆς τοῦ Σαλαχαδὶν Σουλτάνον τῆς Αἰγύπτου Νιτζεμουδὶν Ἐγιοὺπ, κυριεύει τῆς Ἱερουσαλὴμ καὶ παραχωρεῖ αὐτὴν πρὸς τοὺς Σταυροφόρους. Ἀλλ' ὁ Νιτζεμουδὶν ἐκστρατεύει καὶ κατισχύσας, κατεπόρθησεν, ἐλεηλάτησε τὴν Ἱερουσαλὴμ καὶ κατέσφαξε τοὺς Λατίνους, ὅς τις ἔδωκε πάλιν τὸν Ναὸν τῆς Ἀναστάσεως καὶ τὰ λοιπὰ Προσκυνήματα, μετὰ τὴν ἐξόντωσιν ἀπὸ τῆς ἁγίας Πόλεως τῶν ἐχθρῶν του Σταυροφόρων, πρὸς τοὺς ὀρθοδόξους αὐτόχθονας Ἄραβας ὑπηκόους του.

Μετὰ τὴν καταστροφὴν τοῦ Δεβλὲτ Ἐγιουπιὲ ὑπὸ τῶν Μαμλούκων Παχαριτῶν, τῶν φονευσάντων τὸν ἐκ τοῦ Σαλαχαδὶν ἔσχατον ἀπόγονον καὶ νικητὴν τοῦ ἐκστρατεύσαντος κατὰ τῆς Αἰγύπτου Βασιλέως τῶν Γάλλων ἁγίου λεγομένου Λουδοβίκου, Μουαζὲμ-Γαζὲτ-δὶν Τουρὰν αὐθέντην αὐτῶν καὶ Σουλτάνον, καὶ συστησάντων τῷ 1250 ἔτει καὶ τοῦ Χιτζρὲ 649 Βασιλείαν ἰδίαν ἐπ' ὀνόματι Δεβλὲτ Τουρκιγιὲ, ἢ Δεβλὲτ Πενὶ Ἐτρὰκ, ἐξ αὐτῆς τῆς δυναστείας ὁ μὲν κατὰ τὸ 1263 ἔτος καὶ Χιτζρὲ 661 τέταρτος Μελέκι-Ταχὶρ-Πιπὰρ ἀποδιώξας ἀπὸ τῆς Παλαιστίνης τέλεον τοὺς Λατίνους, περιεποιήθη τὴν Ἱερουσαλὴμ, ἀνεκαίνισε τὰ τείχη της, καὶ ἐκύρωσε τὴν κατοχὴν τῶν Προσκυνημάτων καὐτὸς πρὸς τοὺς κατοίκους τῆς Ἱερουσαλὴμ Ὀρθοδόξους Ἄραβας· ὁ δὲ κατὰ τὸ 1280 ἔτος καὶ τοῦ Χιτζρὲ τῷ 678 ἕβδομος Πελέκι-Μανσοὺρ-Ἐποὺλ Μααλὶ-Καλαοὺν, στρατεύει μετὰ δυνάμεων καὶ καταπολεμήσας τοὺς Σταυροφόρους,

ἐξεπόρθησε τὰ κατὰ Συρίαν κρατούμενα παρ' αὐτῶν παράλια Φρούρια τῆς Λαοδικείας, Τριπόλεως, Βηρυττοῦ τῆς Σιδῶνος. Ὁ δὲ τούτου διάδοχος, Μελέκι-Ἐσρὲφ-Χαλὶλ προσβάλλει γενναίως κατὰ τοῦ ὑστάτου καὶ μόνου ἀπὸ τοσούτων ἀποκτημάτων ἐγκαταλειφθέντος εἰς τοὺς Σταυροφόρους Φρουρίου τῆς Πτολομαΐδος, (Ἄκι, ἢ Ἄκρι); καταῤῥίπτει τὰ τείχη καὶ καταπορθεῖ τοῦτο, φυγόντων τῶν Λατίνων διὰ θαλάσσης. Καὶ οὕτω πέρας ἔλαβεν ἡ τῶν Σταυροφόρων σκηνὴ ἐκείνη ἡ πολυθρύλλητος τῷ 1291 ἔτει.

Οἱ Ὀρθόδοξοι κατὰ Παλαιστίνην καὶ Ἱερουσαλὴμ Ἄραβες, ἀπὸ τοῦ Γιουσοὺφ Σαλαχαδὶν καὶ καθεξῆς, τόσον ἐπὶ τῶν Μαμλούκων Παχαριτῶν, ὅσον καὶ ἐπὶ τῶν διωξαμένων αὐτοὺς τῷ 1382 ἔτει καὶ τοῦ Χιτζρὲ 782 Σιρκασίων, καὶ συστησάντων ἐν Αἰγύπτῳ. τὸ Δεβλὲτ Τζερκκισὲ, ὡς ὑπήκοοι αὐτῶν, ἐν διαστήματι, μέχρι τοῦ κατακτητοῦ τῆς Αἰγύπτου Γιαβοὺς Σουλτὰν Σελὴμ τοῦ Α', χρόνων 300 καὶ ἐπέκεινα, κατεῖχον καὶ ἐξουσίαζον μόνοι, ἐλλείψει ἐκεῖσε Φράγκων καὶ Ἀρμενίων, τόν τε Ναὸν τῆς Ἀναστάσεως ὅλον, ὡσαύτως τά τε ἔνδον τῆς ἁγίας Πόλεως καὶ τὰ ἔξω ταύτης, Γεθσημανῆ, Βηθλεὲμ, Ναζαρὲτ, Ὀρεινῆς καὶ λοιπὰ ἄλλα Προσκυνήματα ἐν πάσῃ ἀδείᾳ καὶ ἐλευθερίᾳ δι' ὁρισμῶν τῶν Σουλτάνων τῆς Αἰγύπτου, οἵτινες, καθὰ ὑπομνήματα ἀναγκαῖα, τυχὸν διαφυλάττονται παρὰ τῶν Ἁγιοταφιτῶν, ἢ ἐνταῦθα, ἢ ἐν Ἱεροσολύμοις.

Ἰστέον δὲ, ὅτι μετὰ τὴν κατατρόπωσιν καὶ ἐξόντωσιν τῶν Λατίνων ἀπὸ τῆς Ἱερουσαλὴμ, ὡς ἐῤῥέθη, οἱ χρηματίσαντες Πατριάρχαι Ἱεροσολύμων μέχρι τοῦ ἔτους 1534, ἦσαν πάντες Ἄραβες, ἐκλεγόμενοι καὶ ψηφιζόμενοι παρὰ τῶν Ἀρχιερέων τοῦ Θρόνου Ἀράβων καὐτῶν, καὶ τοῦ Ὀρθοδόξου ἐκεῖσε Κλήρου. Ἐκ δὲ τῶν ὑστάτων δύω Ἱεροσολύμων Πατριαρχῶν Ἰωακεὶμ καὶ Δωροθέου Ἀράβων, παραγενόμενος ὁ πρῶτος εἰς Βασιλεύουσαν, ἔλαβεν ὁρισμὸν παρὰ τοῦ πορθητοῦ τῆς Κωνσταντινουπόλεως συστατήριον ὑπὲρ τῶν Ἁγίων Τόπων πρὸς τοὺς ἐν Αἰγύπτῳ Σιρκασίους Σουλτάνους.

Οἱ ἐκ τοῦ τάγματος τῶν Φρανσισκάνων ἐν Ἱεροσολύμοις Φράτορες, καὶ τιτλοφορούμενοι φύλακες τῶν Ἁγίων Τόπων, ἐπὶ τῆς γενομένης πρὸ ἑνὸς αἰῶνος παρ' ἑνὸς Πασᾶ τῆς Δαμασκοῦ καταδρομῆς κατ' αὐτῶν, καὶ τῆς λεηλασίας τοῦ Μοναστηρίου των, ἀπώλεσαν, ὡς λέγουσι, πολλὰ ἔγγραφα. Ἐκ δὲ τῶν διασωθέντων δῆθεν ἐπιδείκνυνται δι' αὐτῶν τὴν ἀρχαιότητα τῆς νομιζομένης ὑπάρξεως αὐτῶν ἐν Ἱερουσαλήμ. Πρῶτον ἕνα ὁρισμὸν τοῦ Σουλτάνου τῆς Αἰγύπτου Μουζαφὲρ, διαλαμβάνοντα τὸ νὰ μὴν ἐμποδίζηται πρὸς τοὺς Φράτορας ὁ οἶνος, ἐκδεδομένον τῇ 13 Ρετζὲπ τῷ 414 τοῦ Χιτζρέ.

Ἀναίρεσις.

Τὸ ἔτος 414 συμπίπτει τῷ 1023 Σωτηρίῳ ἔτει. Κατὰ δὲ τὸν χρόνον τοῦτον δὲν ὑπῆρξε Σουλτάνος τῆς Αἰγύπτου ἐπ' ὀνόματι τοιούτῳ, ὅς τις τὴν Ἱερουσαλὴμ ἐξουσίαζεν. Ὁ δὲ περὶ οὗ ὁ λόγος, ἐστὶν ὁ ἐκ τῆς δυναστείας Δεβλὲτ Τουρκιγιὲ ἀπὸ τῶν Μαμλούκων Παχάριδων, Μουζαφερουδὶν-Κουτοὺς, Σουλτανεύσας ἐν Αἰγύπτῳ περὶ τὸ 637 τοῦ Χιτζρὲ, καὶ τὸ 1258 ἔτος τὸ ἡμέτερον.

Δεύτερον Ὁρισμὸν τοῦ Σουλτὰν Ματαμὲτ, διαλαμβάνοντα τὸ νὰ μὴν ἐπηρεάζωνται οἱ Φράτορες, ἐκδεδομένον τῇ 2 Σεβὰλ τῷ 501 τοῦ Χιτζρὲ, ὅ ἐστι τῷ 1107 καθ' ἡμᾶς.

Ἀναίρεσις.

Μετὰ τὴν ἐποχὴν τοῦ ἔτους τούτου, ἡ Ἱερουσαλὴμ ἦν ὑπὸ τὴν ἐξουσίαν τῶν Σταυροφόρων.

Τρίτον Ὁρισμὸν τοῦ Σουλτὰν τῆς Αἰγύπτου Ἀχμὲτ, ἢ Ταχὶρ Τσακμὰκ, διαλαμβάνοντα, ὅτι οἱ ἐν Ἱεροσολύμοις Φράτορες δύνανται νὰ ἐνταφιάζωσι τοὺς νεκροὺς αὐτῶν, νὰ κατασκευάζωσιν οἶνον οἱ κρασοπατέρες, νὰ φέρωσι τροφὰς καὶ ἄλλα τοιαῦτα μηδαμινὰ, ἐκδεδομένον τῇ 10 Σεφὲρ τῷ 609 Χιτζρὲ, τῷ 1212 ἔτει.

Ἀναίρεσις.

Ὁ ἐκ τῶν Σιρκασίων Μαμλούκων καταγόμενος αὐτὸς Ἀχμὲτ ἢ Ταχὶρ Τσακμὰκ Ἐλζαχιρὶ, ἐσουλτάνευεν ἐν Αἰγύπτῳ οὐχὶ κατὰ τὸ 1212 ἔτος, ἀλλὰ κατὰ τὸ 1438 ἔτος καὶ τοῦ Χιτζρὲ τῷ 842.

Μετὰ τὴν καταστροφὴν καὶ ἀποδίωξιν τῶν Λατίνων Σταυροφόρων ἀπό τε τῆς Παλαιστίνης καὶ τῆς Συρίας τῷ 1291 ἔτει, οἱ νῦν Φράτορες ἐν Ἱερουσαλὴμ, αὐτοὺς τοὺς κατὰ τὴν χρονολογίαν ἐσφαλμένους, ὑπόπτους καὶ ἀσημάντους Ὁρισμοὺς τῶν Σουλτάνων τῆς Αἰγύπτου ἔχουσι πρὸς μαρτυρίαν καὶ ἔνδειξιν, ὅτι καὶ ἐπ' αὐτῶν τῶν Σουλτάνων εἶχον κατοχὴν δῆθεν εἴς τε τὸν Ναὸν τῆς Ἀναστάσεως καὶ εἰς τὰ ἄλλα τῶν Προσκυνημάτων.

Οἱ Ἐνετοὶ κατὰ τὸν ΙΓ', ΙΔ' καὶ ΙΕ' αἰῶνα, ὡς ἐπιχειρηματικώτεροι περὶ τὴν ἐμπορίαν ὄντες, τότε ἔπλεον εἰς Αἴγυπτον καὶ ἠγόραζον τὰς μεταφερομένας ἐκεῖσε πραγματείας ἀπὸ τῶν Ἀνατολικῶν Ἰνδιῶν καὶ τῆς εὐδαίμονος Ἀραβίας διὰ τοῦ Ἀραβικοῦ κόλπου εἰς Σουὲζ, καὶ διὰ τῆς Ἀλεξανδρείας διεπόρθμευον καὶ ἐπώλουν αὐ-

τὰς πανταχοῦ. Ἐπὶ τοιαύτης ληψοδοσίας μετὰ τῶν Σουλτάνων τῆς Αἰγύπτου, διὰ μεσολαβήσεως αὐτῶν πρός τε τοὺς Παχαρίτας καὶ ἑπομένως Σιρκασίους Σουλτάνους, εἰσήχθησαν οἱ ἐκ τῶν Φρανσισκάνων Φράτορες τὸ πρῶτον εἰς Ἱερουσαλήμ, καὶ ἔλαβον τοὺς δύω ῥηθέντας ἀσημάντους Ὁρισμούς, ἐν οἷς οὐδὲ μνεία, ὅτι ἐξουσίαζον ἢ μέρος τι ἔνδον τοῦ Ναοῦ τῆς Ἀναστάσεως, ἢ ἄλλα ἔξω τῆς Ἱερουσαλὴμ Προσκυνήματα, τὰ ὑπὸ τὴν ἐξουσίαν ὄντα ἀνεξαιρέτως τῶν Ὀρθοδόξων Ἀράβων. . . . .

